οἱ δὲ τὰς προφυλακὰς ἔχοντες παραλαβόντες αὐτὸν παριστῶσι Πτολεμαίῳ τῷ καλουμένῳ σωτῆρι. τοῦ δὲ Πτολεμαίου ἐξετάσαντος αὐτὸν ἔφη· „ υἱός εἰμι Κανδάκης τῆς βασιλίσσης. " καὶ ὁ Πτολεμαῖος· „ καὶ τί ὧδε ἐλήλυθας; " ὁ δὲ διηγήσατο πάντα καθὼς προεῖπεν. ὁ δὲ Πτολεμαῖος μηνύει τοῦτον πρὸς τὸν βασιλέα 'Αλέξανδρον. ὁ δὲ 'Αλέξανδρος ταῦτα ἀκούσας 'Αντίοχον προσκαλεσάμενος ἐγείρεται καὶ ἄρας τὸ ἑαυτοῦ διάδημα ἐνδιδύσκει τούτῳ 'Αντιόχῳ. αὐτὸς δὲ τὴν τοῦ 'Αντιόχου ἀμφιασάμενος ἐσθῆτα εἶπε πρὸς αὐτόν· καθέζου ὡς τυγχάνων 'Αλέξανδρος καὶ εἰπὲ τῷ φερενδαρίῳ οὕτως· „ φώνησόν μοι 'Αντίοχον τὸν μέγαν ὑπερασπιστήν. καὶ ὅταν ἔλθω, διήγησαί μοι, ὅπερ ἤκουσας παρὰ Κανδάβλῃ, καὶ εἰπέ μοι· 'τί ποιήσωμεν, ὦ 'Αντίοχε, περὶ τοῦδε τοῦ ἀνθρώπου; δέομαι συμβουλῆς.' "

προκαθέζεται οὖν 'Αντίοχος τῷ βασιλικῷ σχήματι ἠμφιεσμένος· ὃν θεασάμενα τὰ στρατεύματα συνεφοράζοντο, τί πάλιν ἐνθυμεῖται 'Αλέξανδρος. εἰσελθὼν δὲ Κανδάβλης καὶ ὡς δῆθεν τὸν 'Αλέξανδρον προσκυνήσας ἔστη. καὶ ὃς αὐτίκα κελεύει· „ 'Αντίοχόν μοι καλέσατε τὸν μέγαν ὑπερασπιστήν μου. " ἐλθόντος δὲ τοῦ 'Αλεξάνδρου εἶπεν αὐτῷ 'Αντίοχος· „ 'Αντίοχε, αὐτός ἐστιν υἱὸς Κανδάκης τῆς βασιλίσσης· ἡρπάσθη δὲ ἡ γύνη αὐτοῦ ἀπὸ τοῦ τυράννου τῶν Βεβρύκων. τί οὖν μοι συμβουλεύεις ποιήσω; οὐ γὰρ μετρίως ἔπαθεν ὑπὲρ αὐτοῦ ἡ ψυχή μου. " ὁ δὲ εἶπεν· „ συμβουλεύω σοι, 'Αλέξανδρε βασιλεῦ, καθοπλίσαντά σου τὴν στρατιὰν πολεμῆσαι τοῖς Βέβρυξιν, ἵνα λυτρωσώμεθα αὐτοῦ τὴν γυναῖκα καὶ παραδῶμεν αὐτῷ εἰς τιμὴν

(I) ἔχοντες D : ἔοντος R (2) τοῦ δὲ Πτολεμαίου ἐξετάσαντος αὐτόν dedi : ὁ δὲ Πτολεμαῖος ἐξετάσας αὐτόν R : τοῦ δὲ Πτ. τοῦτον ἐξετάσαντος D (3-5) ἔφη· υἱός εἰμι .... προεῖπεν R : καὶ αὐτῷ τὰ πάντα ὁ Κανδάβλης διηγήσατο ὡς προείπομεν D (5) τοῦτον πρὸς τὸν βασιλέα ʼΑλ. R : τὰ περὶ τούτου τῷ βασιλεῖ ʼΑλεξάνδρῳ, ὡς ὅτιπερ ὁ τῶν Βεβρύκων τύραννος Εὐαγρίδης ᾐχμαλώτευσε τοὺς περὶ Κανδάβλης τὸν υἱὸν Κανδάκης τῆς βασιλίσσης καὶ τὴν τούτου γυναῖκα καθήρπασε τυραννικῶς D (6) ʼΑντ. προσκαλεσάμενος ἐγείρεται R : προσκαλεῖται πρὸς ἑαυτὸν τὸν ʼΑντίοχον καὶ δὴ ἐγείρεται D (8) ἐνδιδύσκει τούτῳ ʼΑντιόχῳ R : ἐνδύει τοῦτο τῷ ʼΑντιόχῳ D (9) καθέζου κτλ. rursus CBLA pergunt (IO) καὶ εἰπὲ RC : εἰπὲ δέ D / φερενδαρίῳ RDCL : ῥεφερενδαρίῳ B (II) μέγαν RC : ἡμέτερον D / ὑπερασπιστήν μου C (I2) ὅπερ R : ἅπερ D (I3) ὦ ʼΑντίοχε DC / περὶ τοῦδε τοῦ ἀ. RC : εἰς τόνδε τὸν ἄνθρωπον D / δέομαι συμβουλήν R, qui contaminare videtur : δέομαι τῆς σῆς συμβουλῆς D : δός μοι συμβουλίαν BLA : δός μοι συμβουλήν C (I5) ʼΑντίοχος RD : Πτολεμαῖος CBLA / τὸ διάδημα ἠμφιεσμένος D (I6) ὃν R : ὅντινα D / συνεφοράζοντο R : possis συνεφράζοντο : ἐφοράζοντο B : συνεφωράζοντο L : ὑπενόουν καθ᾽ ἑαυτούς D : διελογίζοντο καὶ ἔλεγον C / τί πάλιν dedi: τί πάλαι R : τί πάλιν CBLA : ὅτι ποτέ D (I7) καὶ ὡς δῆθεν R : καὶ τὸν ʼΑντίοχον ὡς δῆθεν D : ὡς δῆθεν C (I8) προσκυνήσας RD : προσκυνῆσαι C post προσκυνῆσαι add. C καὶ ἰδὼν αὐτὸν τῇ βασιλικῇ ἐσθῆτι ἠμφιεσμένον ἐφοβήθη, μὴ κελεύσῃ αὐτὸν ἀναιρεθῆναι· αὐτὸν γὰρ ὑπώπτευεν εἶναι ʼΑλέξανδρον· εἶτα κελεύει Πτολεμαῖος λέγων· „ʼΑντίγονόν μοι καλέσατε κτλ." : sim. BLA / ἔστη, καὶ ὃς αὐτίκα D : om. RC (I9) μέγαν RCB : ἡμέτερον D / μου RC : om. D (20) ʼΑντίοχος RD : ὁ Πτολεμαῖος CBLA (2I) ὁ υἱὸς DC / δὲ RC : οὖν D (22) ἡ γυνὴ αὐτοῦ RCBL : ἡ τούτου γυνή D / ἀπό RD : ὑπό CBLA / τί.... ποιήσω R : τοιγαροῦν δός μοι βουλήν, τί ποιήσω D : τί οὖν μοι συμβουλεύεις ποιῆσαι CBLA (25) καθοπλίσαντα .... Βέβρυξιν RB : sim. LA : ὡς ἂν καθοπλίσῃς τὴν στρατιὰν καὶ πολεμήσῃς τοὺς Βέβρυκας D / ὅπερ καθοπλίσαντα C

τῆς μητρὸς αὐτοῦ." ὁ δὲ Κανδάβλης ἔχαιρε ταῦτα ἀκούων καὶ εἶπεν· „ δέσποτα κοσμοκράτορ, πάντα μοι τὰ παρὰ τῆς τύχης συμβησόμενα ἀντ' οὐδενὸς ἐλογισάμην· ἐντυχὼν γὰρ ⌊τῷ κ⌋ράτει σου πάντα μοι τῆς ψυχῆς λέληθε τὰ λυπούμενα. " εἶπεν δὲ δῆθεν 'Αλέξανδρος πρὸς 'Αντίοχον· „ εἰ τοῦτο βούλει ἀντιστῆναι, τοῦτο καὶ ποίησον ὡς ὑπερασπιστής μου. "

20

ταῦτα δὲ ἀκούσας 'Αντίοχος ἐξῆλθε παραλαβὼν τὸν Κανδάβλην καὶ χιλιάδας ἑκατὸν ἀπό τε Περσῶν, 'Ινδῶν καὶ Μακεδόνων καὶ ὥρμησεν ἐπὶ Εὐαγρίδην. κατὰ δὲ τὴν ὁδὸν προσκαλεσάμενος τὸν Κανδάβλην διελέγετο ὡς· „ ἂν παρὰ τοῦ Εὐαγρίδους τὴν σεαυτοῦ γυναῖκα ἀναλαβόμενος παράσχω σοι, τί μοι ὑπὲρ τῆς χάριτος, ὦ Κανδάβλη, ἔσται δῶρον; " καὶ ὁ Κανδάβλης ἔφη· „ οὐκ ἔστιν μοι ἐν λόγοις εἰπεῖν τῆς χάριτος τὴν ἀντίδοσιν· εἰ καὶ ὅλως ἀγωνίσῃ τὰ περὶ ἐμοῦ ὁλοψυχῶς, αἰτήσομαί σε παρὰ τοῦ βασιλέως σὺν ἐμοὶ τῇ ἐμῇ ἀπελθῆναι μητρί. ἐκείνη δέ σοι τὴν ἀνταμοιβὴν τῶν περὶ ἐμὲ πεπονημένων ἀμείψεται. "

φθάσαντες δὲ τοῖς Εὐαγρίδους ὁρίοις, εἰς τρεῖς ἀρχὰς τὸ στρατόπεδον ⌊διεμέ⌋ρισε. καὶ ταῖς μὲν δυσὶν ἐνεδρεύειν προσέταξεν, τὴν δὲ μίαν ἀναλαβόμενος ὥρμησεν πρὸς Εὐαγρίδην. συλλαβόμενος δέ τινας τῶν ἐγχωρίων

(I) ὁ δὲ Κανδάβλης RD : ὁ δὲ Κα. ὁ υἱὸς τῆς Κανδάκης CBL / ἀκούων RDBA : ἀκούσας CL (3) συμβησόμενα RDCQ nota futurum falso loco positum (4) πάντα μοι .... λυπούμενα R : πάντα μου ... λυπούμενα C : πάντων τῶν τῆς ψυχῆς ἐπελαθόμην ἀνιαρῶν D (5) εἶπε .... Ἀντίοχον RD : εἶπε δὲ ὁ Πτολεμαῖος ὡς Ἀλέξανδρος δῆθεν, Ἀντίοχε C / εἰ τοῦτο ..... ὑπ. μου R : εἰ τοῦτο βούλει, τοῦτο καὶ ποίησον ὡς ὑπ. μου· κέλευσον οὖν ἑτοιμάζεσθαι στρατιάν. C : ὑπερασπιστά, ὅ σοι δοκεῖ, τοῦτο δὴ καὶ ποίησον καὶ ἐκδίκησον τὸν Κανδάβλην D : εἰ τοῦτο βούλει, Ἀντίγονε, τοῦτο κ.π. ὡς ὑπ. μου· κέλευσον ἑτοιμάζεσθαι τὴν στρατιάν B : sim.L cap XX : BLA alia tradunt usque ad p.362,I6 (L sicut C) et p.364,4(B sicut C) et p.366,3 (BLA ut R) (7) Ἀντ.RD : ὁ Ἀλέξ.ὡς Ἀντ.ὤν C / ἀπό τε Περσῶν, Ἰνδῶν RD : ἀπὸ τῶν Π. καὶ Ἰν. Q : ἀπὸ Ἰνδῶν καὶ Π. C (9) ἐπὶ Εὐαγρίδην R : κατὰ τοῦ Εὐαγρίδους D : κ. τοῦ Εὐαγρίδου C (qui semper habet Gen. Εὐαγρίδου) : Εὐαγρίδῃ Q (IO) διελεγετο πρὸς αὐτὸν λέγων D / ὡς RC : om. DQ / ἄν RC : ἐὰν DQ (II) σεαυτοῦ RDC : ἑαυτοῦ Q / ὑπὲρ τῆς χάριτος RQ : περὶ τ.χ. C : om. D / τί μοι ....' ἔσται δῶρον RC : sim.Q : τίνα μοι παρέξεις .... δῶρα; D (I3) οὐκ ἔστιν μοι ἐν λόγοις εἰπεῖν R : οὐκ ἔστιν μοι ἐν λόγῳ εἰπεῖν C : οὐ δύναμαι λόγῳ εἰπεῖν σοι D (I4) εἰ .... ὁλοψυχῶς RQ : εἰ .... ὁλοψυχῶς δ' C : τέως εἰ ἀγωνίσῃ ὁλοψυχῶς περὶ ἐμοῦ D / αἰτήσομαί σε DC : αἰτ. σε καί R : αἰτήσομαι δέ σε καὶ Q (I5) τοῦ RCQ : om. D / σὺν ἐμοὶ τῇ ἐμοὶ ἀπελθῆναι μητρί R : σὺν ἐμοὶ πρὸς τὴν ἐμὴν ἐλθεῖν μητέρα Q : καὶ σὺν ἐμοὶ πρὸς τὴν ἐμὴν μητέρα ἀπελεύσῃ D : καὶ σὺν ἐμοὶ εἰς τὴν μητέρα μου ἀπελευσόμεθα C (I7) φθάσαντες RDC : φθασάντων Q / δέ RC : οὖν DQ / τοῖς Εὐ. δρίοις RC debuit εἰς τὰ...: ἐν τοῖς Εὐ. ὁρίοις D : τοὺς Εὐ. ὅρους Q (I8) τὸ στρατόπεδον RDC : τὸν σὺν αὐτὸν (sic) λαόν Q / διεμέρισεν Ἀλέξανδρος D (I9) προσέταξεν RDQ : ἐκέλευσε C / αὐτὸς ἀναλαβόμενος D / ὁ Ἀλέξανδρος ὡς τὸν Ἀντίοχον ὑποκρινόμενος ὥρμησεν πρὸς Εὐ. C (20) ἐγχωρίων RDC : εὐχορίων Q

πρέσβεις ἀπέστειλεν πρὸς αὐτὸν εἰπών· „ εἴπατε τῷ Εὐαγρίδῃ, ὡς ὁ κοσμοκράτωρ Ἀλέξανδρος τὸν αὐτοῦ παῖδα πρός σε ἐξαπέστειλε Ἀντίοχον δοῦναι τὴν γυναῖκα Κανδάβλῃ καὶ ὅσον αὐτῷ ᾐχμαλώτευσας πλοῦτον, ἀλλὰ δὴ καὶ τοὺς ἐτησίους φόρους· καὶ σώζου· εἰ δὲ μὴ τοῦτο θελήσειας, τὰ πρὸς πόλεμον εὐτρεπίσθητι. "

ταῦτα ἀκούσας ὁ Εὐαγρίδης κατάσκοπον ἀπέστειλε Ἀντίοχον κατασκοπῆσαι. ὁ δὲ κατάσκοπος τοῦτο ποιήσας ἀντιστρέφεται καὶ ὀλιγοστὸν τὸ παρὰ Ἀντιόχου στράτευμα ἔφησεν ἔσεσθαι καὶ τῇ ἡμετέρᾳ μὴ ἐξαρκεῖν δυνάμει. ταῦτα εἶπε μὴ θεασάμενος τὸ ἔνεδρον. Εὐαγρίδης οὖν ταῦτα ἀκούσας τὰ πρὸς πόλεμον εὐτρεπίζεται. καὶ δὴ καταφθάνει τὴν Ἀλεξάνδρου παράταξιν καὶ ὀλιγοστὴν ἰδὼν κατεφρόνησεν καὶ ἀκρατῶς κατὰ τῆς φάλαγγος ὥρμησεν. τῶν δὲ τοῖς ἐνέδροις μηνυόντων σαλπίγγων εὐθέως ἤχησε, καὶ περικυκλοῖ αὐτοὺς ἀνείκαστον πλῆθος ἑκατέροις μέρεσι, καὶ πάντες συνελήφθησαν. καὶ Εὐαγρίδης ἑαυτὸν τῷ ξίφει ἀνεῖλεν τὴν Ἀλεξάνδρου ῥοπὴν δεδοικώς. τῆς δὲ νίκης γενομένης ἐν τῇ Εὐαγρίδους παραγενόμενος πόλει παντελῶς ταύτην ἐξηδάφισεν, τῷ δὲ Κανδάβλῃ

(I) ἀπελθόντες εἴπατε C (2) σε DCQ : om. R (3) ἐξαπέστειλε RDC : ἀπέστειλε Q / δοῦναι RCQ : ἀποδοῦναι D / Κανδάβλῃ DQ : Κανδάβλην R : κανδαύλου C (4) ὅσον αὐτῷ ᾐχμαλώτευσας RDC : ὅς σὺν αὐτῇ ᾐχμαλώτισας Q (5) σῴζου RDC : σῴζει Q / θελήσειας RC : βούλει D : θελήσεις Q (5/6)... εὐτρεπίσθητι· ἥκει γάρ σοι πολεμήσων Q (7) κατάσκοπον ἀπέστειλε RDC : κατασκόπους ἀποστέλλει Q / 'Αντ. κατασκοπῆσαι R : εἰς τὸ κατασκοπῆσαι 'Αντίοχον D : τῷ 'Αλεξάνδρῳ τῷ ὡς 'Αντιόχῳ γενομένῳ κατασκοπῆσαι C (8/9) ὁ δὲ .... ἔφησεν R : οἱ δὲ τοῦτο ποιήσαντες ἀντιστρέφονται καὶ ... ἔφησαν Q (9) ὀλιγοστὸν τὸ παρὰ 'Αντ......... ἔσεσθαι R : ὀλ. τὸ 'Αντιόχου ... ἔσεσθαι C : ὀλ. ἔφησεν εἶναι τὸ τοῦ 'Αντ. στρ. D nota futurum falso loco positum (IO) μὴ ἐξαρκεῖν δυνάμει RC : ἐξαρκεῖν δυνάμει οὐδαμῶς D : μὴ ἐξαρκεῖ δυνάμει Q / ταῦτα .... ἔνεδρον RC : ταῦτα δὲ.... ἔνεδρον τοῦ θαυμαστοτάτου καὶ μεγαλόφρονος βασιλέως 'Αλεξάνδρου D : ταῦτα δὲ εἶπον μὴ θεασάμενοι τὰ ἔνεδρα Q (II) τὰ RC : om. D : εὐθὺς Q (I2) εὐτρεπίζεται RC : εὐτρεπίσθη D :κατοπλίζεται Q / καταφθάνει RCQ : καταλαμβάνει D (I3) καὶ ὀλιγοστὴν ἰδὼν R : καὶ ταύτην ὀλιγοστὴν εἶναι ὑπολαβὼν D : καὶ ὀλ. αὐτὴν ἰδὼν C : καὶ ὀλ. ἰνδῶν Q / (I5) τῶν δὲ ... ἤχησε R : οἱ δὲ ταῖς ἐνέδραις ἐγκαθήμενοι εὐθέως ἐσάλπισαν D (forte melius) : ὡς δὲ τοῖς ἐνέδροις εὐθέως ἐσάλπισαν C : τοὺς (malim οἱ) δὲ ἐν τοῖς ἐνέδροις μηνύοντες τὰς σάλπιγγας εὐθέως ἤχησαν Q / καὶ RDQ : om. C / περικυκλοῖ .... ἑκατέροις μέρεσι R : περικυκλοῖ ... ἀφ' ἑκατέρων μερῶν C : περικυκλοῖ ... ἑκατ. τοῖς μέρεσιν Q : τούτους κύκλῳ περιεστείχισαν D (I6) πάντες συνελήφθησαν RCQ : πάντας συνέλαβονD / καὶ Εὐαγρ. RQ : ὁ δὲ Εὐ. D : ὡς οὖν εἶδεν Εὐ. C (I8) τῆς δὲ νίκης RCQ : ἤδη τῆς νίκης D / γενομένης ὁ 'Αλέξανδρος ὡς 'Αντίοχος ἐν τῇ Εὐαγρίδου C (I9) τῷ δὲ Καν. R : τῷ δὲ γὲ Καν. D : καὶ τῷ Κανδαύλῃ C : τὴν δὲ Κανδαύλης Q

παραδοὺς τὴν ἑαυτοῦ γυναῖκα καὶ τὸν σὺν αὐτῷ πάντα ἄρας πλοῦτον ἐπὶ τὸ στρατόπεδον ὑπέστρεφε. κατὰ τὴν ὁδὸν δὲ περιεπλέκετο Κανδάβλης ὡς 'Αντίοχον τὸν 'Αλέξανδρον· καὶ καταφιλῶν καὶ ἐπαινῶν ἔλεγεν· „ οὐκ ἄρα τοιοῦτός ἐστιν ἄνθρωπος ἐν τῇ ὑπ'οὐρανόν· καὶ ὄντως θαυμαστοῦ βασιλέως καὶ ὁ στρατηγέτης πανθαύμαστος. " ἐπὶ τοῦτο 'Αλέξανδρος τῷ Κανδάβλῃ ἀπεκρίνατο, ὡς ἔσχατος πάντων τῶν δούλων 'Αλεξάνδρου εἶναι· „ πρῶτος γὰρ ἡμῶν Φίλιππος, μετὰ δὲ τοῦτον Σέλευκος, ἐκ δὲ τούτων Φίλων ὁ φίλος τοῦ βασιλέως, ἔσχατος δὲ πάντων τούτων 'Αντίοχος, ὅς εἰμι ἐγώ. " καὶ φησὶν ὁ Κανδάβλης· „ κἂν ἔσχατος φαίης, ὑπὲρ πάντας ἔχεις τὸ φρόνημα. " ὁ δέ. „ μὴ γένοιτο, ἔφη, ἀλλὰ πάντων εἰμὶ ἔσχατος, καὶ κατὰ τὴν φρέναν καὶ ἀνδρείαν· καὶ ἡ τιμὴ δέδοται ὑπὸ 'Αλεξάνδρου. " καὶ ὁ Κανδάβλης ἔφη· „ εἰ ὑπέρ σε ἑτέρους ἔχει 'Αλέξανδρος, δικαίως τῆς οἰκουμένης ἐβασίλευσεν καὶ κατεκυρίευσε· παρακαλῶ δέ σε, εἰ ὅλως καταξιοῖς με, παρισταμένου μου τῷ βασιλεῖ καὶ ἐξαιτησαμένου σε, μετ' ἐμοῦ πρὸς τὴν μητέρα μου ἐλθεῖν,

(I) παραδούς RC : om. DQ / τὴν ἑαυτοῦ γ. RC : τὴν ἰδίαν γ. παρέδωκεν D : γυναῖκα Q (I/2) καὶ ... ὑπέστρεφε R : καὶ ... ὑπέστρεφαν C : ἄρας δὲ πάντα τὸν πλοῦτον ὑπέστρεφεν ἐπὶ τὸ στρατόπεδον ἑαυτοῦ D : καὶ τὸν σύμπαντα ἄρας πλοῦτον ἤγαγεν εἰς τὸ στρατόπεδον Q (3-364,7) κατὰ τὴν ὁδὸν- καὶ ὑπηρεσία παντοία hic om. D, loco posteriore (p.374,I6) addit; varias lectiones hic notavi. (3) κατὰ τὴν .... καταφιλῶν RQ : κατὰ δὲ τὴν ... καταφ. C : κατὰ δὲ τὴν ὁδὸν Κανδάβλης τὸν 'Αλέξανδρον ὡς 'Αντίοχον περιπλεκόμενος κατεφίλει D (4) ἄρα RCQ : om. D (5) ἄνθρωπος RDC : ἕτερος Q / ἐν τῇ ὑπ' οὐρανόν RDQ : ἐν τῷ οὐρανῷ ὑπὸ κάτω C (6) καὶ ὁ στρατηγέτης πανθαύμαστος RD : καὶ ὁ στρατιώτης ἀήττητος Q : θαυμαστὸς στρατηγέτης ὑπάρχεις καὶ εἴθε σὺ ἦς 'Αλέξανδρος, καὶ μὴ ὑπερασπιστὴς αὐτοῦ C / ἐπὶ τοῦτο R : ἐπὶ τούτοις DCQ (7) 'Αλέξανδρος ὡς 'Αντίοχος C / ἀπεκρίνατο RC : ἀπεκρίνατο λέγων D : ἔφη Q (8) εἶναι RQ : εἰμί D : ἐστί C / πρῶτος γάρ ἐστι D / ἡμῶν R : παρ' ἡμῖν D : παρ' ἡμῶν CQ (9) ἐκ δὲ τούτων Φίλων RQ : εἶτα Φίλων D : εἶτα Βίζας καὶ μετ' ἐκεῖνον Φίλων C / ὁ φίλος τοῦ βασιλέως R : ὁ φ. τοῦ 'Αλεξάνδρου DC : om. Q (I0) ἔσχατος DCQ : ἔσχατον R / τούτων RD : om. CQ (II) φαίης R : εἶ D : ἦς CQ (I2) ὑπὲρ RQ : ἀλλ' ὑπὲρ D : ἀλλ' οὖν ὑπὲρ C (I3) πάντων RDC : πᾶσιν ἡμῖν Q / εἰμὶ ἔσχατος καί RDC : om. Q / φρέναν R : φρένα DCQ / κατὰ τὴν ἀνδρείαν D (I4) καὶ ἡ τιμή RCQ : πλήν, ἡ τιμή D / δέδοταί μοι D / ὑπὸ 'Αλ. RDC : παρὰ 'Αλ. Q / καὶ ὁ Καν. ἔφη DC : καὶ ὤ ἔφη Καν. R (I5) εἰ ὑπέρ σε ἑτέρους D : εἴπερ σε ἑτέρους R : εἴ σε C : ὑπέρ σε ἕνα καὶ ἕτερον Q (I6) ἐβασίλευσε καὶ ἐκράτυνε καὶ κατεκυρίευσε C (I6-I8) παρακαλῶ δέ σε, εἰ ὅλως καταδέχῃ, παρισταμένου μου τῷ βασιλεῖ καὶ ἐξαιτησαμένου σε, ἐλθεῖν μετ' ἐμοῦ πρὸς τὴν μητέρα μου D : παρακαλῶ δέ σε, εἰ ὅλως καταξιοῖς με, τῷ βασιλεῖ ἱσταμένου μου μετ' ἐμοῦ πρὸς τὴν μητέρα μου ἐλθεῖν σε R (eadem Q praeter ἱσταμένου R : αἰτησαμένου Q) : πίστευον δὲ σεαυτόν μοι, ὅπως ἄρω σε πρὸς τὴν ἐμὴν μητέρα Κανδάκην, ἵνα σοι δώσω βασιλικὰ δωρήματα ἀντάξιά σου C (eadem L)

ἵνα καὶ τοὺς φόρους αὐτῷ κομίσῃς καὶ τὰς τῶν πόνων ἀμοιβάς, ἃς ἡ ἡμῶν κοινὴ μή⌞τηρ⌟ ἀμείφεται· ὑπὲρ ἀδελφὸν γὰρ ἐθαυμαστώθης μοι, εἰ καὶ ὅλως ἀξιοῖς." ὁ δέ φησιν πρὸς τὸν Κανδάβλην· „ κἀγὼ αἰτήσομαι τοῦτο παρὰ βασιλέως [.....], ὅπως σύν σοι ἀποστείλῃ με. καὶ δὴ τῷ στρατοπέδῳ φθάσαντες, ἐδόθη τῷ Κανδάβλῃ τόπος σκηνῆς καταλῦσαι σὺν τῇ γυναικὶ αὐτοῦ καὶ ὑπηρεσία παντοία.

τῇ δὲ ἐπιούσῃ προσκαλεσάμενος αὐτὸν ὁ βασιλεὺς ἔφη· „ ἰδού, Κανδάβλη, ἀπέλαβες καὶ τὴν γυναῖκά σου παρ' ἐμοῦ· τί οὖν ἐστι τὸ δοκοῦν σοι; " ὁ δὲ Κανδάβλης ἔφη· „ ἐμοὶ τὸ δοκοῦν οὐκ ἔστιν, πάντα δὲ δεκτὰ τῷ σῷ κράτει. " ὁ δὲ πρὸς αὐτόν· „ ἄπιθι πρὸς τὴν μητέρα σου καὶ τὰ ἐξ ἡμῶν αὐτῇ προσαγόρευον. " καὶ προσκαλεσάμενος Κανδάβλης τὸν Φίλωνα ἔφη· „ δέομαί σου, λάλησον τῷ βασιλεῖ 'Αντίοχον σὺν ἐμοὶ ἀποστεῖλαι, ἵνα καὶ τοὺς ἐτησίους φόρους καὶ τὰς ὑπ' ἐμοῦ ἀποκομίσῃ ἀμοιβάς, καὶ ἐσόμεθα αὐτῷ εἰς δούλους. " ἐπὶ τούτῳ κατένευσε ὁ Φίλων εἰπεῖν τῷ βασιλεῖ.

(I) ἵνα RCQ : ὡς ἂν D / αὐτῷ RDQ : τῷ 'Αλεξάνδρῳ C / τὰς RDQ : om. C / post ἀμοιβάς add. C λήψῃ (2) ἡμῶν CQ : ὑμῶν R / ἀμείψεται C : ἀμοίψεται R : παρέξει σοι Q / ἃς ... ἀμείψεται RC : παρὰ τῆς κοινῆς ἡμῶν[....] μητρός D /ὑπὲρ .... ἀξιοῖς om. C (3) ἀξιοῖς RQ : καταδέχῃ, θαυμάσιε D / ὁ δὲ .... Κανδάβλην RD : om. Q : ὁ δὲ 'Αλ. ὡς 'Αντίοχος περιχαρὴς γενόμενός φησι πρὸς τὸν Καν. C : similia L (4) κἀγὼ αἰτήσομαι τοῦτο παρὰ βασιλέως[.....], ὅπως σύν σοι ἀποστείλῃ με D : κἀγὼ αἰτήσομαι περὶ [τού]του τῷ βασιλεῖ, ὅπως σύν σοι ἀποστείλῃ μοι R : κἀγὼ αἰτήσομαι τοῦ[το] τῷ β. κτλ. Q ut R : αἴτησαί με παρὰ τοῦ βασιλέως 'Αλεξάνδρου · καὶ γὰρ ἐπιθυμῶ τὴν σὴν χώραν θεάσασθαι C similia LB, qui abhinc alia tradunt usque ad p. 372,I5 (5) τῷ στρατοπέδῳ R : ἐς τὸ στρ. C : τὸ στρατόπεδον Q / καὶ δὴ .... τῇ γυν. αὐτοῦ R : καὶ δὴ τὸ στρατόπεδον καταλαβόντων αὐτῶν ⌞τόπος σκηνῆς⌟⌞ἐδόθη⌟ τῷ Κανδάβλῃ καταλῦσαι σὺν τῇ γυναικὶ αὐτοῦ D (7) καὶ ὑπηρεσία παντοία C : καὶ ὑπηρεσίαν παντοίαν R : [καὶ τῷ] τούτου λαῷ· σὺν τούτοις καὶ ⌞ὑπηρεσία παντ⌟οία D : καὶ ὑπηρέταις Q (8) τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ CD, qui abhinc pergit / ὁ βασιλεύς RDQ : ὁ Πτολεμαῖος ὡς β. C / ἰδοῦ RDC : ἰδέ Q (9) ἀπέλαβες τὴν γυναῖκά σου καὶ τὴν περιουσίαν σου παρ' ἐμοῦ D (IO) ὁ δὲ Καν. ὑπεραπολογούμενος ἔφη Q / ἐμοί, δέσποτα, τὸ δοκοῦν κτλ. C (II) πάντα δὲ τῷ σῷ κράτει δεκτά D / δὲ δεκτά RC : δέδεκται Q (I2) ..πρὸς αὐτὸν ἔφη C / ἄπιθι RD : ἄπελθε C : ἄπιε Q / ἐξ RDQ : περί C / καὶ ταύτην ἐξ ἡμῶν προσαγόρευσον, ὅσα δὴ ἀγαθά σοι καὶ τῇ γυναικί σου συνήντησαν D (I3) καὶ προσκαλ. RCQ : παραυτίκα προσκαλεσάμενος D (I4) τῷ βασιλεῖ RCQ : πρὸς τὸν βασιλέα D / 'Αντ. .. ἀποστεῖλαι RCQ : ὡς ἂν 'Αντίοχον σὺν ἐμοὶ ἀποστείλῃ D (I6) ὑπ' ἐμοῦ RC : ὑπὲρ ἐμοῦ Q : ὑμετέρας (i.e. ἡμετ.) D / καὶ ἡμεῖς αὐτῷ εἰς δούλους ἐσόμεθα D : καὶ ἐσόμεθα αὐτῷ δοῦλοι C : καὶ ... εἰς δουλίαν Q (I7) ἐπὶ τούτῳ RDC : ἐπὶ τοῦτο C / ὁ Φίλων εἰπεῖν R : ὁ Φίλ. εἰπεῖν ἅπαντα D : καὶ εἶπε τὸν λόγον C / post βασιλεῖ pergit ὅσα δὴ ἤκουσε παρ' αὐτοῦ τοῦ Κανδάβλη (sic!) καὶ τῶν περὶ αὐτόν D

καὶ δὴ ὡρίσθη Ἀλέξανδρος εἰσελθεῖν σὺν αὐτῷ· οὕτως οὖν ἀποφηναμένου δῆθεν τοῦ Ἀλεξάνδρου πρὸς τὸν Κανδάβλην· „ παραλαβὼν τὸν ἄγγελόν μου Ἀντίοχον, ὦ Κανδάβλη, ἄγε μετὰ σοῦ· πάλαι δὲ σῶον αὐτὸν ἄγαγε πρός με, ὥσπερ καὶ σεαυτὸν καὶ τὴν γυναῖκά σου σώους ἀποκαθιστῶ πρὸς τὴν σὴν μητέραν. " ὁ δὲ Κανδάβλης ἀπεκρίνατο· „ βασιλεῦ, οὕτως παραλαμβάνω τοῦτον τὸν ἄνδρα ὡς σὲ τὸν κοσμοκράτορα Ἀλέξανδρον, ἐκπέμψω δέ σοι αὐτὸν μετὰ βασιλικῶν δώρων."

2I

καὶ δὴ πορευόμενος Κανδάβλης ἔλαβε μεθ'ἑαυτοῦ τὸν Ἀλέξανδρον καὶ ἱκανὴν στρατιάν. κατὰ τὴν ὁδὸν δὲ γενομένων ἐγγίσας τῷ Κανδάβλῃ λόγους ἠκρίβαζε πρὸς αὐτόν, ὡσὰν γνῷ, πῶς ἔχει πρὸς τὴν ἐπίγνωσιν αὐτοῦ. ὡς δὲ παντελῶς ἀπερίεργον τοῦτον ὄντα διέγνω, οὐκέτι αὐτῷ εἰσ<έ>φερ<ε> λόγους τοιούσδε, ἀλλ' ἢ μόνον ἀγαπᾶν αὐτὸν ἔλεγεν καὶ ἀδελφικῶς χρᾶσθαι ὡς ὑπὲρ αὐτοῦ ἀγωνισάμενον. Κανδάβλης αὐτῷ μεθ' ὅρκων ἐβεβαίου, ὡς ὑπὲρ ἀδελφοῦ καὶ μητρὸς τὴν ἑαυτοῦ ἔχειν στοργὴν ἐν ψυχῇ καὶ μέχρι θανάτου.

πλήσιον δὲ γενόμενοι τὰ ἔνθεα κατέλαβον σπήλαια, καὶ Κανδάβλης φησίν· „ ὧδε, Ἀντίοχε, θεῶν μοναί εἰσιν· καὶ εἴπερ οὐ δειλιᾷς, μικρὸν τῆς ὁδοῦ διελθὼν τὰ συμβησόμενά σοι μαθήσῃ. " ἦν γὰρ ὁ τόπος ποικίλον ὄρος καὶ γῆ κρυσταλλοφόρος. φθανέντων δὲ τῶν ὀρέων μέχρι τῶν τοῦ

(I) ὡρίσθη RDC : διόρισται Q / ὁ 'Αλέξανδρος D : ὁ 'Αλ. ὡς 'Αντίοχος C / εἰσελθεῖν σὺν αὐτῷ RDC : συνεξελθεῖν μετ' αὐτοῦ Q, qui abhinc deest usque ad p. 368,9 οὕτως ... 'Αλεξάνδρου R : εἰσελθόντων δὲ ἀπεφήνατο δῆθεν ὁ 'Αλέξανδρος D : καὶ οὕτως ἀπεφήνατο Πτολεμαῖος ὡς δῆθεν 'Αλέξανδρος C (2) τὸν om. D (3) παραλαβὼν οὖν CLB / ἄγε RC : ἄπιθι D (4) μετὰ σοῦ RCLB : οἴκαδε D / πάλαι RD : πάλιν CLBA melius/ὥσπερ καὶ σεαυτὸν RCLBA : καθὼς ἔγωγε καὶ σέ D (6) μητέραν R : μητέρα DCBL (9) τὸν 'Αλ. RD : ὡς 'Αντίοχον τὸν 'Αλ. C (IO) post στρατιάν addit C καὶ κτήνη καὶ ἁμάξας καὶ δῶρα ἱκανά / κατὰ ... γενομένων ἐγγίσας R : κατὰ ... γεν. αὐτῶν ἐγγίσας D :ὁδεύων δὲ 'Αλέξανδρος ὡς 'Αντίοχος μετὰ Κανδαύλους καὶ ἐγγίσας C (II) τῷ Κανδάβλῃ RDQ : πρὸς αὐτὸν C / λόγους ... ἔχει D : λόγους αὐτῷ ἤβαζε, πῶς ἂν ἔχει R : λόγους αὐτῷ ἠκρίβαζε, πῶς ἂν ἔχει C : λόγοις αὐτὸν ἠκρίβωσε, πῶς κτλ. Q (I2) τὴν ἐπίγνωσιν αὐτοῦ RCQ : τὴν τούτου ἐπίγνωσιν D (I3) ὄντα RD : ὄντως C : om. Q / εἰσφέρ R : ἔφερε C : ἐκοίνου D : om. Q (I4) ἀλλ' ἢ RCQ : ὁ γὰρ Κανδάβλης D / ἀγαπᾶν ἔλεγεν μόνον αὐτόν D (I5) χρᾶσθαι ὡς ὑπὲρ αὐτοῦ ἀγωνισάμενον RC : χρῆσθαι αὐτῷ ὡς ὑπὲρ αὐτοῦ ἀγωνισαμένῳ D : χρᾶσθαι ὡς καὶ ὑπὲρ αὐτοῦ ἀγωνισάμενος Q / Καν. R : καί D : Καν. δέ Q / αὐτῷ R : αὐτόν CQ : om. D (I6) ὡς ... μητρός R : καὶ ὡς ... μητρός C : ὑπὲρ ... μητρός Q : om. D / ἑαυτοῦ RD : αὐτοῦ CQ / (I7) ἐν ψυχῇ RC : ἐν τῇ τούτου ψυχῇ D : ἐν τῇ ψυχῇ Q / καί om. D / θανάτου καὶ αὐτῶν τῶν πυλῶν Ἅιδου D (I8) πλησίον δέ γεν. ἀμφότεροι D / ἔνθεα RDC : ἔνθα Q (I9) ὁ Καν. D (20) εἴπερ RDC : εἶπεν Q / διελθὼν RC : προελθὼν D : ἐξῆλεν Q (2I) μαθήσῃ RC : μάνθανε D / ἦν γὰρ .... κρυσταλοφόρος .... νεφῶν R : ἦν γὰρ ὁ τόπος ἐκεῖνος ποικιλόορος· ἡ δὲ γῆ κρυσταλοφόρος, τὰ δὲ ὄρη μέχρι τῶν τοῦ οὐρανοῦ νεφῶν ὑψοῦντο D : ὡς δὲ πάλιν πορευόμενοι ἐθαύμαζεν ὁ 'Αλέξανδρος. ὡς 'Αντίοχος ὢν τὰ ποικίλα δένδρα καὶ τὰ ὄρη τῆς κρυσταλλοφόρου γῆς φθάνοντα μέχρι τῶν τοῦ οὐρανοῦ νεφῶν C similia LBA

οὐρανοῦ νεφῶν· τὰ δὲ δένδρα ὑφιπέτηλα καρποῖς καταγέμοντα οὐχ ὡς παρ' Ἕλλησιν, ἀλλ' ὡς ἴδ⌊ια⌋ [θα]ύματα· μηλέαι γὰρ ἦσαν χρυσίζουσαι, τὸν ὄγκον τῆς ὀπώρας ἔχουσαι περίμετρον τοῖς παρ' Ἕλλησιν πεπονίοις, ζῷα τὰ ποικίλα τῇ χροιᾷ καὶ ξένα τῇ μορφῇ. ἔνιοι δὲ ἦσαν τόποι τείχους πετρώδεις καταβάσεις ἔχοντες.

θαυμάζοντος δὲ τοῦ Ἀλεξάνδρου ὁ Κανδάβλης ἔφη· „ ὧδε, Ἀντίοχε, καθὼς προεῖπόν σοι, θεῶν εἰσιν οἰκητήρια· καὶ τὰ συμβησόμενα ἀποκαθιστῶσι, τοῦτο δὲ οὐ τοῖς πᾶσιν, ἀλλ' ἢ τούτοις μόνοις, οἷς ἡ τύχη εὐάρμοστος πέφυκεν. πολλοὶ δὲ εἰσελθόντες σεληνιαζόμενοι ἐξέρχονται ἢ καὶ παράφρονες. καὶ διὰ τοῦτο παρ' ἡμῖν παραιτεῖται. " ὁ δέ φησι πρὸς Κανδάβλην· „ καὶ τοσαύτη σου ἡ πρὸς Ἀντίοχον ἀγάπη, ὥστε συνένευσάς μοι εἰσελθόντα σεληνιάζεσθαι καὶ παραφρονεῖν; " ἐν δὲ τούτῳ περιπλακεὶς αὐτὸν Κανδάβλης κατεφίλησεν εἰπών· „ μή μοι γένοιτο ἐν ἐμοὶ τὰ σά, ὦ φίλτατε, δυστυχήματα· τεθαρρηκὼς γάρ σοι περὶ τούτου ἐφθεγξάμην. ⌊πέπεισμαι δὲ εἰσ⌋ελθόντα σε μηδὲν ἐναντίον παθεῖν· φοβερὸς γάρ, ὡς ἐμοὶ δοκεῖ, καὶ παρὰ θεοῖς ὁ Ἀλέξανδρος. "

καὶ δὴ ἐκ τῆς ὁδοῦ μικρὸν μετανάστης γενόμενος τοῦ Κανδάβλου εἰσῆλθεν ἔνδον μετ' ὀλίγων στρατιωτῶν· καὶ ὁρᾷ φαντασίαν εἰδώλων καὶ πυρὸς ἀστραπήν.

(I) τὰ δὲ δένδρη R : καὶ τὰ δένδρα DCLBA / ὑψηπέτη καρπῶν C / καταγέμοντα R : βρίθοντα D : γέμοντα C (2) ἀλλ' ὡς ἴδ⌊ια⌋ [θα]ύματα R : ἀλλὰ ξενοτρόπως D / θύματα C : ἐθήματα L : θεάματα B : θαύματα A / γὰρ RC : δέ D (3-5) περίμετρον ... πεπόνοις .... μορφῇ R : τοῖς παρ' Ἕλλησι πεπονίοις παρόμοιον· ἦσαν δὲ καὶ ζῶα ἐκεῖσε ποικίλα τὴν μορφὴν καὶ ξένα τὴν χροίαν D : ὡς τὰ παρ' Ἕλλησιν κίτρα καὶ βοτρύων σταφυλαὶ παμμεγέθεις, κάρυα δὲ ἔχοντα περίμετρον πεπόνων, πίθηκοι δὲ τέλειοι ὡς ἄρκτοι, ἄλλα τε ζῶα ποικίλα κτλ. C similia LB (4) ζῶα τὰ R : malim ζῶά τε (5) ἔνιοι .... ἔχοντες R similia LBA : ἔνιοι δὲ τῶν ἐκεῖσε τόπων εἶχον καταβάσεις πετρώδεις D : ἔνθα ἦσαν τόποι τοίχους πετρώδεις καὶ ξένας καταβάσεις ἔχοντες C / τείχους (gen. sg.) R : possis τοίχους <καί> : τύπους B (7) θαυμάζοντος ... ἔφη RD : εἶπε δὲ ὁ Κανδαύλης CLBA / ὧδε RD : om. C (8) εἰσιν RD : om. C / οἰκητήρια τὰ ὧδε τυγχάνει C (9) ἀποκαθιστῶσιν RC : λέγουσιν τοῖς ἀνθρώποις D / τοῦτο .... πᾶσιν RCQ qui addit δίδοται : οὐ πᾶσιν D / ἀλλ' ἤ R : ἀλλὰ DCQ (IO) τούτοις om. D / οἷς DCQ : δι' ἧς R (II) εἰσελθόντες ἐνταῦθα D / ἐξέρχονται R : ἐξήλθοσαν C / ἢ καί RDQ : ἤ C (I2) παρ' ἡμῖν RCQ : παρ' ἡμῶν D / ὁ δέ φησι RDQ : ὁ δὲ 'Αλ. ὡς 'Αντίοχός φησι C (I3) σου DCQ : om. R (I4) συνένευσας RD : συνένοισας C : συνήναισαν (= συνήνυσας ?) Q (I5) ὁ Καν. C (I6) μοι om. C / ἐν ἐμοὶ ..... δυστυχήματα RC : φίλτατε, τοῖς σοῖς ἐπαγάλλεσθαι δυστυχήμασι D (I7) σοι om. C / ἐφθεγξάμην RC : εἰρήκειν D (I9) ὁ κοσμοκράτωϛ 'Αλ. D (20) μετανάστης .... εἰσῆλθεν R : ὁ 'Αλέξανδρος παριππεύσας μετανάστης εἰσῆλθεν D : μετανάστης γενόμενος Κανδαύλους ὁ 'Αλέξανδρος ὡς 'Αντίοχος ὢν εἰσῆλθεν C / post μικρόν add. διάστημα Κανδαύλης ἔχεσθαι ἔφη τῆς ὁδοιπορίας Q qui abhinc usque ad p.370,5 alia trad.; nota vocem Homericam μετανάστης (2I) στρατιωτῶν κατὰ τὸ ἔθος τὸ ἐκεῖσε θυσίαν καὶ σπονδὰς ποιῆσαι C (22) ὁρᾷ .... ἀστραπήν RD : καὶ ὁρᾷ ὁμίχλην ἀστεροφεγγῆ καὶ στίλβουσαν και φαντασίων εἰδώλων C

ὁ δὲ 'Αλέξανδρος ἐδειλίασεν ἀπορίᾳ ληφθείς. ἐπέμενεν δὲ ἰδεῖν τὸ ἀποβησόμενον· ὁρᾷ δέ τινας ἄνδρας ἀνακειμένους ἀπαστράποντας ἐκ τῶν ὀφθαλμῶν ὡς λυχνοφεγγεῖς, ἕνα δὲ λέγοντα αὐτῷ· „ χαίροις, 'Αλέξανδρε, οἶδάς με τίς εἰμι; ἐγώ εἰμι Ὦχος βασιλεὺς ὁ κοσμοκράτωρ, ὃς τῇ παρ' ἐμοὶ δυνάμει ἐπαρθεὶς θεὸν ἐμαυτὸν ὠνόμασα. καὶ τῷ οὐρανῷ ἐπιβῆναι σπουδάσας τὴν τούτου ἐζήτουν ἀκρώρειαν· ἐλθὼν δὲ εἰς χώραν ἀγρίων ἀνθρώπων, ἐπανέστησαν ἐπ' ἐμὲ πλῆθος πολὺ καὶ ὑπερνικήσαντά με τρέπουσιν. καὶ κατεδίωξαν ὀπίσω μου μέχρις ὅπου φέγγος οὐκ ἦν ἡμέρας, καὶ πολλὰ πλήθη τοῦ σὺν ἐμοὶ ἀνεῖλον στρατοῦ. μόλις δὲ τούτοις ἐκφυγὼν τὴν λίμνην, ἣν ἑώρακας, κατέλαβον, καὶ τῇ ἀθυμίᾳ συσχεθεὶς θανασίμῳ περιέπεσα νόσῳ καὶ τοῦ ζῆν ἄκων ἐστερήθην. ἐνταῦθα δὲ παρεπέμφθην δέσμιος τοῖς ἐρήμοις πλανᾶσθαι τόποις. ὧδε γάρ εἰσι πάντες οἱ θεοὺς ἑαυτοὺς ὀνομάζοντες, τὴν ἡτοιμασμένην ἀπεκδεχόμενοι τοῦ θεοῦ δίκην. ἐπεὶ οὖν, 'Αλέξανδρε, τὰ καθ' ἡμᾶς ἤκουσας, σπεῦδε τὸν μεθ' ἡμῶν διεκφυγεῖν κλῆρον. "
ὁ δὲ 'Αλέξανδρος ἔφη ἄρα· „ πόσα ἔτη ζήσομαι; "

(I) ὁ δὲ 'Αλ..... ληφθείς R : καὶ δειλίᾳ ληφθεὶς διηπορεῖτο D : καὶ ἐδειλίασεν ἀπορίᾳ ληφθείς C / ἐπένεμεν δέ R : ἐπένεμεν δ' ὅμως D : ὅμως ἐπένεμεν C (2) ὁρᾷ δέ τινας ἄνδρας R : ὁρᾷ τοιγαροῦν ἄνδρας D : ὁρᾷ δὲ ἑστίαν καί τινας ἄνδρας C (3) ὡς λυχνοφεγγεῖς R : δίκην λύχνων D : λυχνοφεγγεῖς C (4) αὐτῷ ἐξ αὐτῶν C / χαίροις, 'Αλέξανδρε, οἶδάς με τίς εἰμι; DC : om. R / τίς εἰμι; ὁ δὲ ἔφη· „ οὐχὶ κύριε. " ὁ δὲ εἶπεν C (5) ῏Ωχος RDC : Σεσονχός Q; Ochus rex Persarum Apim taurum trucidavit / παρ' ἐμοί RC : ἐν ἐμοί D : παρ' ἐμοῦ Q (6) ἐμαυτόν DC : ἑαυτόν R (7) ἐζήτουν φθάσαι ἀκρώρειαν D / ἐλθὼν δέ RCQ : ἐλθόντος δέ μου D (8) ἐπανέστησαν RDQ : ἐπανίσταντο C / πλῆθος πολλεῖ R : πλήθη πολλά DC (9) καὶ .... τρέπουσιν R : καὶ δὴ .... ἔτρεφαν D : om. C (IO) μέχρις ὅπου .... ἡμέρας RC : μέχρις ὅτου φέγγος ἡμέρας οὐκ ἔβλεπον D : μέχρις φέγγος ἦν ἡμέρας Q / πολλὰ δὲ πλήθη D : πολὺ πλῆθος Q (II) μόλις ... ἐκφυγών R : μόλις .... διεκφυγών CQ : ὅμως τούτοις μόλις διεκφυγών D (I3) περιέπεσον Q / ἐστερήθην RDC : στερηθείς Q (I5) ἡτοιμασμένην RC : ἡτιμασμένην D (I6) τοῦ θεοῦ RD : παρὰ θεοῦ C / ἐπεὶ .... κλῆρον RD : alia trad. C „ ἀλλ' ἐγώ, ὃς καλοῦμαι καὶ Σεσονχός, οὐ τοσοῦτον δὲ εὐτύχησα ὅσον σύ· ἔχεις γὰρ ὄνομα ἀθάνατον. " ὁ δὲ 'Αλέξανδρος ἔφη· „ πῶς εἶπας, κύριε; " ὁ δὲ ἔφη ὅτι „ πολὺν κόσμον ὑποτάξας καὶ τοσαῦτα ἔθνη δουλωσάμενος ἀνώνυμός εἰμι. σὺ δὲ ἔσῃ ὀνομαστός, κτίσας τὴν περιπόθητον ἐν Αἰγύπτῳ 'Αλεξανδρείαν πόλιν· ἀλλ' εἴσελθε ἔνδον, ἵνα θεάσῃ τῶν (lege τὸν) προστάτην ἡμῶν. " εἰσέρχεται οὖν ἔνδον 'Αλέξανδρος, καὶ ὁρᾷ ὀμίχλην καί τινα καθεζόμενον ἐπὶ θρόνου, ὅν ποτε εἶδε προσκυνούμενον ἐν βροτοῖς Σάραπον. εἶπε δέ· „ τί τοῦτο εἴδομεν ἀφθάρτου φύσεως γένος; ὃν γὰρ εἶδον εἰς τὰ μέρη τῆς Λιβύης προκαθεζόμενον θεόν, καὶ νῦν πάλιν ὁρῶ σε ἐνταῦθα, μέγιστε θεέ. " ὁ δὲ εἶπε πρὸς 'Αλέξανδρον· „ πανταχοῦ φαίνομαι, ὥσπερ καὶ ὁ οὐρανὸς πανταχοῦ φαίνεται ἐπὶ ἑνὸς ὑφώματος ἐστηριγμένος. " (I8) ἔφη ἄρα· „ πόσα ..." R : ἔφη αὐτῷ· „ εἰπέ μοι, πόσα ..." D : ἔφη· „ ἆρα πόσα ..." C

ὁ δὲ ἔφη αὐτῷ· „ καλὸν μὲν τὸν ὄντα μὴ εἰδέναι, πότε τελευτᾷ. προσδεχόμενος γὰρ ἐκείνην τὴν ὥραν, ὁπότε ἔμαθεν, ἐτελεύτησε. τὸν δὲ ἐν ἀγνοίᾳ ὄντα τὴν λήθην παρέχει τὸ μὴ ἔχειν κατὰ γνώμην, εἰ καὶ ὅλως τελευτᾷ. "
ταῦτα ἀκούσας Ἀλέξανδρος τῶν ἐκεῖσε διῆλθεν. καὶ τῇ ὁδῷ εἰσβὰς ᾤχετο καὶ καταφθάνει Κανδάβλην ὀδυρόμενον καὶ Ἀντίοχον ἐν τοῖς ὀδυρμοῖς ἐπικαλούμενον. ἐδόκει γὰρ ὡς βραδύναντα ἐκεῖσε κατακρατηθῆναι καὶ μηκέτι ἐξιέναι. ὡς δὲ εἶδεν αὐτὸν ἐρχόμενον καταδραμὼν τῷ ⌞τραχήλῳ αὐτ⌟οῦ περιεπλέκετο καὶ καταφιλῶν ἔλεγε· „ νῦν ἐπίσταμαι, ὅτι καὶ θεῶν δῆμος ἐδεδοίκασιν Ἀλέξανδρον, ὅτι ἀσινῆ τὸν οἰκέτην αὐτοῦ ἐτήρησεν. "
μεταξὺ δὲ τούτων τὴν ὁδὸν διανύσαντες τὴν Ἀμάστριδα καταλαμβάνουσι πόλιν, καὶ ἀκουστὸν ἐγένετο τῇ βασιλίδι Κανδάκῃ, ὅτι ὁ υἱὸς αὐτῆς ἥκει. καὶ ὑπήντησαν αὐτὸν ἡ μήτηρ αὐτοῦ καὶ ὁ ἀδελφὸς αὐτοῦ. καὶ ὡς ἔμελλον αὐτῷ περιπλέκεσθαι, ὁ Κανδάβλης εἶπεν· „ οὐ πρότερον ἐμὲ περι -

(I) ὁ δὲ ἔφη RD : καὶ εἶπεν C / καλὸν ... τελευτᾷ RC : καλόν ἐστιν μὴ εἰδέναι ἄνθρωπον, ⌞πότε⌟ τελευτᾷ D (2) προσδεχόμενος RC : προσδοκῶν D / ὥραν RC : ἡμέραν D / ὁπότε C : ἁπότε R : om. D / ἔμαθεν, ἐτελεύτησε R : [....] τελευτᾷ D : ἔμαθεν αὐτήν, ἐτελεύτησε C (3) τὸν ... τελευτᾷ RC : ὁ δὲ ἐν ἀγνοίᾳ ὢν τῆς ἡμέρας ἐκείνης ⌞λήθην⌟ αὐτῷ παρέχει προσδοκίᾳ ζωῆς μείζονος D / ἐν ἀγνοίᾳ DC : ἀγνείᾳ R / τήν R : om. C (4) post τελευτᾷ pergit C ἣν μέντοιγε κτίζεις πόλιν περιφανῆ πᾶσιν ἀνθρώποις, τροφὸς αὕτη ὅλης τῆς οἰκουμένης γενήσεται· καὶ πολλοὶ βασιλεῖς ἐπιβήσονται τοῦ ἐδαφίσαι αὐτὴν, ἀλλ' οὐχ' οὕτως ἐπ' αὐτῇ γένηται· οἰκήσεις δὲ αὐτὴν καὶ θανών· τάφον γὰρ αὐτὴν ἕξεις, ἣν κτίζεις πόλιν. " (5) τῶν ἐκεῖσε RCQ : ἐκεῖθεν D (quod melius) / διῆλθεν R : ἀπέβη D / καὶ τῇ ὁδῷ .... ἐπικαλούμενον RC : καὶ τὴν ὁδὸν καταλαβὼν καταφθάνει Κανδάβλην ὀδυρόμενον D : καὶ καταφθάνει Κανδαύλην ὀδυρόμενον παρὰ 'Αντιόχου Q (7) ἐδόκει γὰρ .... ἐξιέναι RC : ὑπέλαβε γὰρ ἐκεῖσε κατακρατηθῆναι τοῦτον καὶ μηκέτι ἐξιέναι, ὡς ἔγνω τοῦτον βραδύνοντα D : ὡς μὴ παρὰ τῶν ἐκεῖσε κρατηθείη Q (8) κατακρατηθῆναι RD : κρατηθῆναι C (9) καταδραμὼν .... ἔλεγε RC : καταδραμὼν καὶ περιπλεκεὶς κατεφίλει τὸν τράχηλον τούτου καὶ καταφιλῶν ἔλεγε D (IO) ὅτι RC : ὅτιπερ D (II) τὸν 'Αλ. D / ὅτι ἀσινῆ τὸν οἰκέτην αὐτοῦ RC : ὡς ἀσινῆ γὰρ τὸν οἰκέτην αὐτοῦ τὸν ἡμέτερον ὑπερασπιστήν D (I2) ἐτήρησεν dedi : ἐτήρεσεν R : διετήρησαν DC (I3) μεταξὺ .... ἀκουστὸν RQC : ἐπεὶ δὲ τὴν ἅπασαν διήνυσαν ὁδὸν καὶ τὴν 'Αμάστριδα κατέλαβον πόλιν, ἀκουστόν D / τούτων R : τούτου C (I4) τῇ βασιλίδι R : τῇ βασιλίσσῃ DCQ (I5) καὶ ὑπήντησαν ... αὐτοῦ RC (similia LBA) : ἣ καὶ παραυτίκα ἐξῆλθε σὺν τῷ ἑτέρῳ υἱῷ αὐτῆς εἰς τὴν τούτου συνάντησιν D / αὐτὸν R : αὐτῷ CBL (I6) καὶ ὡς ἔμ. ... εἶπεν RC (sim. BLA) : καὶ δὴ περιπλέκεσθαι καὶ καταφιλεῖν τοῦτον μέλλοντες οὐ συνεχωροῦντο παρὰ Κανδάβλῃ· ἔλεγε γάρ· D (I7) οὐ πρότ. .... περιπλέκεσθαι R (sim. LB) : οὐκ ἐμὲ περιπλεκόμενοι ἀσπάζεσθε D / ἐμέ RDL : ἐμοί CA

πλέκεσθαι, ἀλλὰ πρότερον τὸν σωτῆρά μοι γενόμενον καὶ τῆς ἐμῆς γυναικὸς εὐεργέτην ἀσπάσασθαι 'Αντίοχον τὸν ἄγγελον 'Αλεξάνδρου τοῦ βασιλέως. " οἱ δὲ εἶπον αὐτῷ· „ τί σοι παρέσχε σωτήριον; " ὡς δὲ διηγήσατο αὐτοῖς Κανδάβλης ταῦτα τὰ αὐτῷ συμβησόμενα καὶ τὴν 'Αλεξάνδρου περιγενομένην αὐτῷ βοήθειαν, δῆθεν παρὰ τοῦ 'Αντιόχου, ταῦτα ἡ Κανδάκη ἀκούσασα καὶ τὸν δοκούμενον 'Αντίοχον ἀτενίσασα, τὸ περιαστράπτον αὐτῷ κάλλος γεμισθεῖσα, ἐπελθοῦσα τοῦτον κατεφίλησεν. καὶ παραχρῆμα ἐβρόντησεν εἰς αὐτὴν αὐτὸν ἐκεῖνον εἶναι τὸν 'Αλέξανδρον, καὶ φησί· „ εἴθε μοι, 'Αντίοχε, μηκέτι ἀνακάμψαι πρὸς 'Αλέξανδρον ἠθέλησας, ἀλλὰ σὺν ἐμοὶ ὢν μετὰ τῶν ἐμῶν συνδίαιτος εἶναι τέκνων. ἐπεὶ δὲ τοῦτο ἀδύνατον, ἐν τοῖς ταμείοις τοῖς ἐμοῖς εἰσελθών, ὅ ἐστίν σοι ἀρεστόν, τοῦτο σοι χαρίσομαι, ὑπὲρ οὗ σέσωκάς μου τὸν υἱόν. " καὶ τῆς χειρὸς αὐτοῦ λαβόμενος εἰσῄει εἰς τὰ βασίλεια. λαμπρὸν δὲ τηνικαῦτα ποιοῦνται δεῖπνον.

22

τῇ οὖν ἑξῆς ἡμέρᾳ προσῆλθε βασιλικῷ διαδήματι ἐμφαίνουσα τὴν ἡλικίαν ἀσύγκριτον καὶ τὴν μορφὴν ἡμίθεον ἔχουσα, ὡς δοκεῖν 'Αλέξανδρον εἶναι τὴν ἑαυτοῦ μητέρα 'Ολυμπιάδα.

(I) τὸν ἐμὸν σωτῆρα C / γενόμενον RC : γεγονότα D (2) ἀσπάσασθαι R : om. D : ἀσπάσασθε LB et C qui add. οὖν (3) τί RCBA : καὶ τί D (4) ὡς δὲ RCBL : ὁ δὲ Κανδάβλης D / Κανδάβλης RLB : hic om. C (5) τὰ αὐτῷ συμβησόμενα R : τὰ αὐτῷ συμβάντα D : τὰ συμβησάμενα αὐτῷ ὁ Κανδαύλης, τὴν ἁρπαγὴν τῆς γυναικὸς αὐτοῦ τὴν γενομένην ὑπὸ τοῦ τυράννου τῶν Βεβρύκων C (sim. LBA) / de futuro συμβησόμενα cf. pp. 354,4 et 358,3 et 360,9 / περιγενομένην αὐτῷ βοήθειαν R : γενομένην εἰς αὐτὸν βοήθειαν C : ἀναδοχὴν D (6) δῆθεν παρὰ τοῦ 'Αντιόχου R : καὶ τὴν παρὰ τοῦ 'Αντιόχου βοήθειαν D : καὶ τὴν 'Αντιόχου C / ταῦτα οὖν D / ταῦτα ... ἀτενίσασα R : ἀτενίσασα ἡ Κανδάκη εἰς τὸν δοκούμενον 'Αντίοχον C (7) τὸν δοκούμενον R : πρὸς τὸν D / τὸ περιστράπτων αὐτῷ κ. R : καὶ τὸ περιστράπτον ἐν αὐτῷ κ. D : καὶ τὸ περιάστραπτον αὐτῷ κ. C (8) γεμισθεῖσα RC : θαυμάσασα D / ἐπελθοῦσα RC : ἀπελθοῦσα D / τοῦτον κατεφίλησεν RD : τοῦτον κατησπάσατο καὶ περιεπλάκη αὐτῷ μετὰ τῶν υἱῶν αὐτῆς C (9) ὅτι αὐτὸν ἐκεῖνον εἶναι C (IO) τὸν κοσμοκράτορα 'Αλέξανδρον D / καὶ φησὶ πρὸς αὐτόν D / εἴθε μοι DCQ : εἴθε μήν R (I2) ὧν ... τέκνων RC : εἶναι καὶ τοῖς ἐμοῖς φιλτάτοις τέκνοις συνδιαιτᾶσθαι D / εἶναι R : εἴης C (I3) ἀδύνατον πέφυκεν D : ἀδύνατόν ἐστιν C / τοῖς ἐμοῖς εἰσελθὼν RC : εἴσελθε τοῖς ἐμοῖς D / ὅ ἐστίν σοι ἀρεστόν RC : καὶ ὃ βούλει λαβεῖν D (I4) μου RDQ : μοι C (I5) λαβόμενος RD : λαβοῦσα C, quod rectius (I6) λαμπρὸν καὶ πολυτίμητον D / ποιοῦνται R : ἐποιήσατο D : ἐν παλατίῳ ποιοῦσι C / δεῖπνον ἅμα τοῖς υἱοῖς καὶ πᾶσι τοῖς ἄρχουσι καὶ τοῖς σατράπαις αὐτῆς καὶ τοῖς ἐν ἀξιώμασι καὶ μεγίσταις ὑπεροχαῖς ἐγκεχειρισμένοις, κατὰ δὲ τὴν ὁδὸν Κανδάβλης τὸν 'Αλέξανδρον ὡς 'Αντίοχον περιπλεκόμενος κτλ. D vide supra p. 362,3 (I7) οὖν RCBL : δὲ DA / προῆλθε D : προσῆλθεν ἡ Κανδάκη CL (I8) τὴν ἡλικίαν ἀσύγκριτον ἐμφαίνουσα D : ἐμφ. ὑπερμεγέθη τὴν ἡλικίαν καὶ ἀσύγκριτον C : ἐμφ. ὑπερμεγέθης τὴν ἡλ. BL (I9) δοκεῖν RCBLA : ὑπολαμβάνειν D / εἶναι τὴν.... 'Ολ. R : τὴν.... εἶναι 'Ολ. C : 'Ολ. τὴν ἑαυτοῦ τυγχάνειν μητέρα D : ὁρᾶν τὴν...'Ολ. A

ἔβλεπε δὲ τὰ βασίλεια ἀστράπτοντα χρυσοφόροις στέγαις καὶ τείχεσι πετρώδεσι. αἱ στρωμναὶ δὲ σηρικοῖς ὑφάσμασι καὶ τέχναις ποικίλαις ἦσαν ὡραϊσμέναι, ἐπὶ κλιντήρων χρυσῶν τὰς βάσεις ἔχουσαι, τὰ δὲ ἀνακλιντὰ ἱμαντωμένα χρυσῷ, τράπεζαι δὲ ἐξ ἐλεφαντίνης ὕλης ἡπλωμέναι, Μηδικοῖς τε κίοσιν ἐστηριγμέναι, τὰς κεφαλίδας ἐβελίνοις χροιαῖς ἀπαστράπτοντες. ἀνδριάντες δὲ ἦσαν ἀναρίθμητοι χαλκοῖ, ἅρματα δὲ δρεπανηφόρα τετορνευμένα ἐκ πορφυρίτων λίθων σὺν τοῖς πώλοις, ὥστε δοκεῖν αὐτὰ τρέχειν· ἐλέφαντες ἐκ τοῦ ὁμοίου λίθου γλυφέντες τοῖς ποσὶ συνεπάτουν τοῖς πολεμίοις καὶ ταῖς προμυξίδεσι εἱλίσσοντες τοὺς ἀντιδίκους. ταῦτα οὖν ὁ Ἀλέξανδρος θεωρῶν ἀπεθαύμαζεν.

ἦν δὲ συνεσθίων τοῖς ἀδελφοῖς Κανδάβλου. παρεκάλει δὲ ὁ Κανδάβλης τὴν ἑαυτοῦ μητέραν καὶ ἠξίου διδόναι τῷ ἀγγέλῳ Ἀλεξάνδρου ἄξια τῆς αὐτοῦ φρονήσεως δῶρα καὶ ἀπολῦσαι αὐτόν.

τῇ δὲ ἑξῆς ἡμέρᾳ λαβοῦσα τῆς δεξιᾶς χειρὸς τὸν Ἀντίοχον ἡ Κανδάκη ἐδείκνυεν αὐτῷ κοιτῶνας διαυγεῖς ἐξ ἀρρήτου λίθου, ὥστε τὸν ἥλιον διὰ τῶν μαργάρων ὑπονοεῖν ἔνδον ἀνατέλλειν· ἐν αὐτοῖς δὲ τρίκλινον ἐξ ἀμιάντων ξύλων,

(I) ἔβλεπε δέ RD : αὐτὸς δὲ ἔβλεπε C / καὶ πρὸς τὰ βασίλεια καὶ ἐξεπλήττετο· ἦσαν γαρ ἀστράπτοντα D / ἐν χρυσοφόροις C / στέγαις RDBL : στέγεσι CA (2) καὶ τείχεσι πετρώδεσι D : πετρώδεσι τείχοις R : μαρμαρώδεσι καὶ πετρώδεσι τοίχοις C : πετρ. τοίχοις BLA (3)καὶ τέχναις.... ἔχουσαι D : τέχναις ποικίλαις χρυσίων ἐπὶ κλιντήρων τὰς βάσεις ἐχούσας χρυσάς R : τέχναι ποικίλαι χρυσίων ἐπὶ κλιντήρων τὰς βάσεις ἔχουσαι διὰ βηρύλλων C (4) ἀνακλιντὰ RD : ἀνάκλιντα C : expectes ἀνάκλιντρα vel ἀνάκλιτα (5) αἱ τράπεζαι D / ἡπλωμέναι RD : ἐφηπλωμέναι C / Μηδικοῖς τε κίοσι R : καὶ Μηδικοῖς κίοσι ἐστηριγμέναι (αἱ στηριγμέναι cod.) D : Μηδικοί τε κίονες C (6) τὰς δὲ κεφ. D / ἐβελίνοις R : ἐβενίνοις D : ἐβελλίνοις C (7) χροιαῖς RC : ξύλοις D / ἀπαστράπτοντες RC : ἀπαστραπτούσας ἔχουσαι D/ ἦσαν δὲ ἐκεῖσε καὶ ἀνδριάντες χαλκοῖ ἀναρ. D (8) καὶ ἅρματα δρεπ. D / τετορνευμένα RCBLA : τετορευμένα D / πορφυρῶν D (9) πώλοις RDBL : ἵπποις C / αὐτά RD : αὐτούς CBL / ἐλέφαντές τε DB (IO) καὶ τοῖς ποσὶ τούτων συμπατοῦντες D / τοῖς πολεμίοις RD : τοὺς πολεμίους CBLA (II) προμιξίδεσι D : προσμιξίδεσι R : προσμυκτήρεσιν C : προσβοσκήσιν B : προμυξεῖσιν L : προσβοσκήμασιν A / εἱλίσσοντες RD : ἥλισσον (malim εἵλισσον .) C (I2) θεωρῶν R : ὁρῶν DCBLA / post ἐθαύμαζεν add. C ὅλοι τε ναοὶ σὺν τοῖς κίοσιν ἐκ μιᾶς ψήφου γεγλυμμένοι, καὶ βαρβάρων θεῶν ἀγάλματα τοῖς ὁρῶσιν ἐκφοβεῖν ἐκφαίνοντα τὴν ὄψιν, καὶ πλάτανοι ὅμοιοι τῷ ὕψει καὶ κυπάρισσοι· κατάρρους δὲ ποταμὸς χρυσῶν φασεων (fort. βάσεων ?) ὕδωρ διαυγάζων, καὶ ἄλλον γένος πανουλον (Πακτοῦλον A, quod em. Kroll Πακτωλοῦ, fort. πάνοπλον ?) συγκείμενον ἀνδρῶν στοιχηδόν (I4) μητέρα DC / δοῦναι D (I5) ἑαυτοῦ D (I7) ἀπὸ τῆς δεξιᾶς χειρός D / τὸν 'Αλ. ὡς 'Αντ. C (I8) αὐτῷ DCBLA : αὐτόν R / ἐξ ἀρρήτου λίθου RC : ἐκ διαφόρων λίθων D : ἐξ ἀερίτου λίθου A / δεικνύουσα τοῦτον παμποικίλα χρήματα κτλ. Q qui in hoc cap. post lacunam abhinc incipit et similia,sed multo breviora trad. (I9) μαργάρων RD : μαρμαρυγῶν C / ὑπονοεῖν RCBLA : δοκεῖν D / ἔνδον DCBL : ἔνδοθεν A : ἥλιον R

οἰκίαν δὲ οὐ παγεῖσαν τὸ θεμέλιον ἐπὶ τῆς γῆς, ἀλλὰ μεγίστοις τετραγώνοις ξύλοις παγεῖσαν, ὑπὸ τροχῶν συρομένην ὑπὸ εἴκοσι ἐλεφάντων. ἔνθα δὲ ἐπορεύετο ὁ βασιλεὺς πόλιν πολεμῆσαι,εἰς αὐτὴν κατέμενεν. εἶπεν δὲ 'Αλέξανδρος τῇ Κανδάκῃ˙ „ ταῦτα πάντα ἄξια ἦν θαυμάζειν, εἰ παρὰ τοῖς Ἕλλησιν ἐτύγχανον καὶ οὐ παρά σοι, ὅτι ὄρη τοιαῦτα ποικίλα τυγχάνει. " παροργισθεῖσα δὲ ἡ Κανδάκη εἶπεν˙ „ ἀληθῶς εἶπας, 'Αλέξανδρε. " ὁ δὲ τῷ ὀνόματι ἐπιφωνηθεὶς ἀντεστράφη λέγων˙ „ ἐγώ, κύρια, 'Αντίοχος καλοῦμαι, οὐχὶ δὲ 'Αλέξανδρος. " ἡ δὲ εἶπεν˙ „ ἐγὼ δέ σε τέως 'Αλέξανδρον καλῶ, σὺ δὲ σεαυτὸν 'Αντίοχον κάλει, εἰ δὲ καὶ δυσανασχετεῖς τῇ τοῦ ὀνόματός σου κλήσει, ἄρτι σοι δείξω τὸ συμβόλαιόν σου. " καὶ κατασχοῦσα αὐτὸν τῆς χειρὸς εἰσφέρει αὐτὸν εἰς κοιτῶνα καὶ λαμβάνει τὸ εἰκονίδιον τοῦ ὁμοιώματος αὐτοῦ καὶ λέγει˙ „ ἐπιγινώσκεις τὸν σεαυτοῦ χαρακτῆρα; " ὁ δὲ 'Αλέξανδρος ἐπιγνοὺς τὸ ἑαυτοῦ ἐκτύπωμα ἐταράχθη καὶ ἔτρεμεν. λέγει αὐτῷ ἡ Κανδάκη˙ „ τί τρέμεις, 'Αλέξανδρε; τί τετάραξαι; ὁ Περσολέτης, ὁ 'Ινδολέτης, ὁ καθελὼν τρόπῳ Μήδους καὶ Πάρθους καὶ ὅλην τὴν ἀνατολὴν καταλαβών, νῦν χωρὶς πολέμου καὶ στρατιᾶς ὑποχείριος γέγονας Κανδάκης˙ ὥστε νῦν γίνωσκε, 'Αλέξανδρε, ὅτι ὅστις δοκεῖ τῶν ἀνθρώπων ὑπερφρονεῖν μέγα, καὶ ἄλλος μείζονα τούτου φρονήσει. "

ἐθυμαίνετο δὲ 'Αλέξανδρος καὶ ἔτριζε τοὺς ὀδόντας˙ καὶ λέγει αὐτῷ ἡ Κανδάκη˙ „ τί τρίζεις τοὺς ὀδόντας;

(I) οἰκίαν δέ RBL : καὶ οἰκίαν D / οἰκίαν..... τὸ θεμέλιον R : ἅπερ ἦν ἄσηπτα καὶ ἄκαυστα ὑπὸ πυρός, οἰκία δὲ ᾠκοδόμητο οὐ παγεῖσα τὸ θεμέλιον C / παγεῖσαν RBL : om. D / τῆς γῆς RCBLA : γῆς πεπηγὸς ἔχουσαν D (2) παγεῖσα C cf. οἰκία δέ (n.I) C / καὶ ὑπὸ DC / συρομένην DBL : συρομένης R : συρομένη C (cf.n.I) A (3) ἔνθα δέ R : καὶ ἔνθα DCBL (4) πόλιν πολεμῆσαι RCBLA : πόλεμον συνάψαι D / αὐτὴν DCBLA : ἑαυτὴν R / ὁ 'Αλ. ὡς 'Αντ. τῇ βασιλίσσῃ Κανδ. C (5) ἦν θαυμάζειν RCBL : θαύματός εἰσιν D / παρὰ τοῖς DCLA : παρ' αὐτοῖς R (6) τοιαῦτα RBL : ἐνταῦθα C / ὅτι.... τυγχάνει R : similia CBLA : om. D (7) ἔφη D (8) ὁ δὲ 'Αλ. C / ἐπιφωνηθεὶς R : θροηθεὶς D perbene :φωνηθεὶς CB : ἔξαρνος γενόμενος A / ὁ δέ..... λέγων R : sim. CBLA : ὁ δὲ θροηθεὶς ἔφη Q (9) λέγων RDBL : ἡ δὲ Κανδ. εἶπε δέ· „ἀπεστράφης προσαγορευθεὶς παρ' ἐμοῦ 'Αλέξανδρος." ὁ δὲ ἔφη· C / οὐχὶ δὲ 'Αλ. R : οὐ μὴν δὲ 'Αλ. D : καὶ ἄγγελός εἰμι 'Αλεξάνδρου βασιλέως C (IO) ἡ δέ D : ὁ δέ R : ἡ Κανδ. C / ἐγὼ μὲν τέως Q / ἐγώ.... 'Αντίοχον σεαυτὸν κάλει D : ἐγὼ... αὐτὸν 'Αντίοχον κάλλει R : εἰ καὶ 'Αντίοχος ἐκλήθης, ἀλλ' οὖν ἐγώ σε 'Αλέξανδρον καλῶ καὶ παρ' ἐμοὶ βασιλεὺς 'Αλέξανδρος τυγχάνεις· σὺ δὲ 'Αντ. σεαυτὸν κάλει C (II) δυσανασχετεῖς DCQ : δυσαναχετεῖς R (I3) αὐτόν RC : om. D (I4) τὸν κοιτῶνα D : τὸν κοιτῶνα αὐτῆς, ἔνθα ἦν τὸ εἰκονίδιον αὐτοῦ C / εἰκονίδιον RD : συμβόλαιον C : εἰκόνισμα B (I7) λέγει δέ CB (I8) ὁ Περσολέτης, ὁ 'Ινδολέτης DCBLA : ὁ Περσιλέτης, ὁ 'Ινδιλέτης R (I9) τρόπῳ Μήδους καὶ Πάρδους RD : τρόπαια Πάρθων καὶ Μήδων CBLA / καταλαβὼν νῦν RCBL : ἰδού, ὡς ὁρᾷς D (20) στρατείας RLA : στρατιᾶς DCB (2I) νῦν RBL : om. DC / δοκεῖ DCBLA : δοκεῖν R (22) ὑπερφρονεῖν μέγα RCBLA : πλείονα φρονεῖν / καὶ ἄλλος μείζονα τοῦτον (sic! dedi τούτου) φρονήσει R : καὶ ..... τούτου φρονήσει C : καὶ ἄλλους κρειττόνως εὑρήσει τούτου φρονοῦντας D (23) ὁ δὲ 'Αλ. ἐθυμαίνετο D / ὁ 'Αλ. C / τοὺς ὀδόντας αὐτοῦ CL (24) καὶ λέγει RC : λέγει οὖν D / τί τοὺς ὀδ. τρύζεις, 'Αλέξανδρε D

τί δύνασαι ποιῆσαι; ὡς ἐπιάσθης, ὁ τηλικοῦτος βασιλεὺς γενόμενος νῦν ὑποχείριος ἐγένου μιᾶς γυναικός." ὁ δὲ 'Αλέξανδρος ἠβουλήθη ξίφει ἑαυτὸν ἀνελεῖν καὶ τὴν Κανδάκην. ἤδη γὰρ καὶ τοῦτο γενναῖον καὶ βασιλικόν. γνοῦσα δὲ αὐτοῦ τὴν βουλὴν ἡ Κανδάκη,καὶ ὡς αὐτοῦ συμπεπτώκει τὸ πρόσωπον, περιπλακεῖσα τοῦτον κατεφίλησεν εἰποῦσα· „ μὴ συμπεσέτω σου τὸ πρόσωπον, τέκνον 'Αλέξανδρε, μηδὲ λογίσῃ κατὰ σεαυτοῦ κακόν. ὥσπερ γὰρ σύ μου τὸν υἱὸν καὶ τὴν τούτου γυναῖκαν ὑπὸ τῶν Βεβρύκων διέσωσας ληφθεῖσαν, οὕτω κἀγώ σε διαφυλάξω ἀπὸ τῶν βαρβάρων 'Αντίοχον καλοῦσα· ἐὰν γὰρ γνώσονταί σε 'Αλέξανδρον ὄντα, ἀναιροῦσί σε εὐθέως, ὅτι σὺ Πῶρον τὸν βασιλέα ἀνήρησας· ἡ γὰρ γυνὴ τοῦ μικροτέρου μοῦ υἱοῦ θυγάτηρ ἦν Πώρου. τοιγαροῦν μὴ κατὰ σεαυτοῦ τι τῶν ἀνιαρῶν ἔλπιζε· ἀλλὰ μᾶλλον πλεῖστά σοι δοῦσα δῶρα ἐξαποστελῶ σε· οὐ γάρ ἐστιν θεμιτόν μοι τὸν τοιοῦτον καὶ τηλικοῦτον ἄνδρα ἔν τε φρονήσει καὶ ἀνδρίᾳ κακῶς διατεθῆναι, ἀλλὰ μετὰ τῆς προσηκούσης τιμῆς περισώσω μᾶλλον καὶ τῷ ἰδίῳ ἐκπέμψω στρατῷ. εἴθε μοι παῖδά σε εἶχον, 'Αλέξανδρε· διά σε πάντων τῶν ἐθνῶν ἐκυρίευον. οὐ γὰρ πολεμῶν ἐχειρώσω τοὺς πολεμίους τὰς πόλεις, ἀλλ' ἐν ἀγχινοίᾳ πολλῇ. πλὴν ὡς γνησία σοι νουθετῶ μήτηρ· μηκέτι σεαυτοῦ κατάσκοπος γενοῦ· οὔπω γάρ, τέκνον, ἐπίστασαι τὰ τῆς τύχης ἀπόκρυφα.

(I) τί δύνασαι.... γυναικός R : τί δύνασαι ποιῆσαι ὁ τηλικοῦτος βασιλεύς, νῦν δὲ μιᾶς γυναικὸς ὑποχείριος γενόμενος;D : τί δύνασαι ποιῆσαι; ὡς διενοήθης, ὁ τηλικοῦτος βασ. γενόμενος ἐπιάσθης καὶ ἐγένου ὑποχείριος μιᾶς γυναικός C (3) ἤδη scripsi : ᾔδει RD (4) καί D : οὐ R / ᾔδει..... βασιλικόν R : εἶπε δὲ αὐτῷ ἡ Κανδ.˙ καὶ τοῦτο γενναῖον καὶ βασιλικόν C / εἶναι καὶ βασιλικόν D / γνοῦσα δέ RDQ : ἔγνω γάρ C / αὐτοῦ τὴν βουλήν RC : τὴν τούτου βουλήν : αὐτοῦ τὴν γνώμην Q (5) ἡ Κανδ. RD : Κανδ. Q : om. C / συμπεπτώκει RD : συνεπεπτώκει C (7) τέκον R / μηδὲ λογίσῃ R : μὴ δὲ λογίζου D : μὴ δὲ λογίσῃ Q : μηδὲ ἀγωνία μηδὲ λογίσῃ C (9) γυναῖκα DC / οὕτω DCB : om. R (II) γνώσονται R : γνῶσι DA : γνώσωσι CB / ὄντα RDBL : om.C / ἀναιροῦσι RC : θανατοῦσι D / ὅτι σύ RCB : διότι D (I2) βασιλέα 'Ινδῶν CB / ἀνῄρησας (sic) RC : ἐφόνευσας σύ D : ἀνεῖλες B / μικροτάτου D / ἦν R : ἐστί DCBLA (I3) τοιγαροῦν μὴ κ.σ.τ.τ. ἀνιαρῶν ἔλπιζε D : μὴ γὰρ ἀδικήσῃς κ.σ.τ.τ. ἀνιαρῶν R : λοιπὸν, τέκνον, μὴ δοκήσῃς κ.σ.τ.τ. ἀνιαρῶν C (I4) ἀλλὰ μᾶλλον RC : ἐγὼ γάρ D (I5) ἐξαποστελῶ σε οἴκαδε ἄχρι τῶν σῶν στρατευμάτων μετὰ πλείστης ὅτι χαρᾶς D : ἐξαποστείλω σε RC / οὐ γάρ ἐμοι C / μοι om. C (I6) κακῶς διατεθῆναι RC : κακῶς διαθῆναι Q : κακῶσαι D (I7) ἀλλὰ καὶ CQ / περισώσω μᾶλλον καί R : περισῶσαι μᾶλλον καὶ D : περισώσω καὶ Q : om. C (I8) ἐκπέμψω RC : ἐκπέμψαι D / εἴθε μοι R : εἴθε γάρ D : εἴθε δέ μοι C / εἶχον RD : ἔχοιμι C (I9) διά σε R : διά σου DC (20) πολεμῶν..... τὰς πόλεις C : πολεμῶν ... τοὺς πόλεις R : πολέμῳ καὶ κόπῳ καὶ μόχθῳ τὰς πόλεις ἐχειρώσω D / ἐν ἀγχινοίᾳ D : ἀγχινοίᾳ C : ἀγχιρᾷ R (2I) πλὴν ... μήτηρ RC : πλὴν ὡς γνησία σοι λέγω μήτηρ καὶ νουτεθῶ D : πλὴν ὡς μήτηρ γνησία σοι λέγω Q (22) σεαυτοῦ dedi : τὸ ἀπὸ τοῦδε σεαυτοῦ D : ἑαυτοῦ RC : αὐτοῦ Q / γενοῦ R : γίνου D : γένῃ C : γένει Q / τέκνον μοι φίλτατον καὶ πεποθημένον καὶ ὄντως ἀξιοθαύμαστον καὶ πολυέραστον D (23) post ἀπόκρυφα add. D ἐὰν γὰρ οὕτω ποιήσῃς καθὼς ἐγώ σοι ἐπηγγειλάμην, ἐκφυγεῖν ἔχεις, 'Αλέξανδρε, τῶν τῆς τύχης ἀκοκρύφων κακῶν.

23

καὶ ταῦτα εἰποῦσα κρατήσασα αὐτὸν τῆς χειρὸς ἐξῆλθεν ἐν τοῖς βασιλείοις καὶ εἶπε· „ τέκνον Κανδάβλη, καὶ σὺ θυγάτηρ Ἄρπισα, εἰ μὴ κατ' εὐθεῖαν καιροῦ εὕρατε τὸν στρατὸν Ἀλεξάνδρου, οὔτε ἐγὼ ὑμᾶς ἀπελάμβανον, οὔτε σὺ τὴν ἑαυτοῦ γυναῖκα εὕρισκες, ὥστε ἄξιοι γενώμεθα τοῦ ἀγγέλου Ἀλεξάνδρου καὶ δῶμεν αὐτῷ δωρεάς. " εἶπεν δὲ ὁ ἕτερος ἀδελφὸς ὁ μικρότερος· „ ἔσωσε τὸν ἀδελφὸν καὶ τὴν τούτου γυναῖκα Ἀλέξανδρος, ἄχθεται δὲ ἡ ἐμὴ γυνὴ τοῦ πατρὸς αὐτῆς Πώρου ἀναιρεθέντος ὑπὸ Ἀλεξάνδρου, καὶ τὸν ἐκείνου ἄγγελον ὧδε ἔχουσα ὑποχείριον ἀναιρῆσαι τοῦτον θέλει τὸν Ἀντίοχον. " εἶπεν δὲ αὐτῷ ἡ Κανδάκη· „ καὶ τί σοι ὄφελος, τέκνον; ἐὰν τοῦτον φονεύσῃς, νικᾷς τὸν Ἀλέξανδρον; " εἶπεν δὲ ὁ Κανδάβλης πρὸς τὸν ἑαυτοῦ ἀδελφόν· „ ἐμὸς σωτὴρ ἐγένετο καὶ τῆς ἐμῆς γυναικός, κἀγὼ τοῦτον διασώσας πέμψω πρὸς Ἀλέξανδρον. οὐκοῦν ἕνεκα τούτου καὶ ἡμεῖς ὧδε συνάψωμεν μάχην πρὸς ἀλλήλους; " ὁ δὲ ἀδελφὸς αὐτοῦ ἔφη· „ ἐγὼ μὲν, ἀδελφέ μου, τοῦτο οὐ θέλω· εἰ δὲ σὺ τοῦτο βούλει, ἑτοιμότερός σοῦ εἰμι. " καὶ ταῦτα εἰπόντες ἐτρέποντο μονομαχῆσαι ἀλλήλους.

ἡ δὲ Κανδάκη ἀγωνιῶσα περὶ τῶν τέκνων αὐτῆς, μὴ ἔλθωσιν εἰς μάχην, λαβοῦσα τὸν Ἀλέξανδρον καταμόνας λέγει αὐτῷ· „ Ἀλέξανδρε φρενήρης ὑπάρχων καὶ τοσαῦτα πραγματευσάμενος, οὐδεμίαν ὧδε δύνασαι ἀφορμὴν φρενῶν εὑρεῖν, ὅπως μὴ διά σε πολεμήσωσίν μου τὰ τέκνα ἑαυτοῖς; " ὁ δὲ Ἀλέξανδρος ἔφη· „ ἐγὼ ἐλθὼν εἰρηνεύσω αὐτούς. "

(I) εἰποῦσα ἡ Κανδάκη C / κρατήσασα αὐτὸν..... ἐξῆλθεν ἐν τοῖς βασ. C : κρατήσασα τὸν (sic).... ἐξῆλθεν τοῖς βασ. R : καὶ τῆς χειρὸς τὸν ᾿Αλέξανδρον λαβοῦσα ἐξῆλθεν ἐκ τῶν βασιλείων D : καταλαβομένη τῆς χειρὸς διῆγεν ἐν τοῖς βασ. Q qui abhinc breviora tradit usque ad p. 384,2 (3) ἅρπισα DL : ἅρπησα R : ἅρπυσσα C : ἅρπουσα ἡ ἁρπαγεῖσα B : Ματέρσα A / κατευθεῖαν καιροῦ C : κατευθεῖαν καιρόν R : κατευθὺ καιρόν BL : κατ᾿ εὔκαιρον A / εὕρατε R : εὕρητε C / εἰ μὴ... ᾿Αλεξάνδρου R : εἰ μὴ ὁ στρατὸς ᾿Αλεξάνδρου βοήθειαν ὑμῖν ἐχορήγησεν D (4) ἀπελάμβανον RDLA : ὑπελ. C (5) γενώμεθα DLA : γενόμεθα RCB / τοῦ ἀγγέλου R : τῆς ἀγάπης τοῦ ἀγγέλου D : τῷ ἀγγέλῳ C (6) δῶμεν DA : δώσωμεν RCBL / εἶπε δὲ αὐτῇ DCL (7) ἀδελφός R : υἱὸς αὐτῆς DCA / μικρότερος RDBL : νεώτερος C / μήτηρ βασίλισσα Κανδάκη, ἔσωσε τὸν ἀδ. μου C / ἔσωσε..., ἄχθεται δέ R : εἰ τὸν ἀδ. μου καὶ τὴν τούτου γυν. ἔσωσεν ᾿Αλέξανδρος, ἀλλ᾿ ἐμὲ παρελύπησεν, ἄχθεται γὰρ D non male (8) μου ἡ γυν. C (9) ὑπὸ ᾿Αλ. RDBL : ἀπ᾿ αὐτοῦ C / καὶ τὸν.... ᾿Αντίοχον R : καὶ βούλεται τὸν ἐκείνου ἀγγ. ᾿Αντίοχον ὧδε ἔχ. ὑποχ. ἀναιρῆσαι D : νῦν δὲ τὸν... ἀναιρῆσαι θέλει τὸν ᾿Αντίοχον καὶ λυπῆσαι τὸν ᾿Αλέξανδρον C (I2) τὸ ὄφελος DB / φονεύσῃς, νικᾷς τὸν ᾿Αλέξανδρον RCBL : φονεύσῃς, πάντως γε τὸν κοσμοκράτορα ᾿Αλέξανδρον οὐ νικᾷς D : ὧδε κολάσῃς ; οὐδὲν μέλει ᾿Αλεξάνδρῳ, ἐὰν τοῦτον ὧδε ἀνέλῃς A (I3) καὶ ὁ Κανδαύλης C / ἑαυτοῦ DCBL : αὐτοῦ R (I5) ἐκπέμψω C / ὁ δὲ ἔφη· „ οὐκοῦν κτλ. D : ὁ δὲ εἶπεν· „ οὐκοῦν κτλ. A (I6) καὶ ἡμεῖς ὧδε om. D (I8) ἕτοιμός εἰμι D (I9) ἐτρέποντο μονομαχῆσαι ἀλλήλους RB : μονομαχῆσαι πρὸς ἀλλήλους ἐτράπησαν ἀμφότεροι· ὅ τε Κανδάβλης καὶ ὁ Δωρήφ D : ἐτρέπ. μον. εἰς ἀλλήλους CL (20) ἵνα μὴ εἰς μονομαχίαν ἔλθωσιν D (2I) κατὰ μόνας vel καταμονάς scribi potest (22) φρενήρης ὑπάρχων R : φρόνιμος ὢν D : φρεν. τυγχάνων CB / πραγματευσάμενος R : πράγματα κατορθώσας D : πράγματα δράσας C (23) δύνησε R / ἐφευρεῖν D (24) πολεμήσωσι C : πολεμήσουσιν R : πρὸς ἀλλήλους πολεμήσωσι D / ἑαυτοῖς C : ἑαυτούς R (25) κἀγώ C

ἡ δὲ Κανδάκη πάλιν ἐξελθοῦσα πρὸς Δορήφ, τὸν υἱὸν αὐτῆς, ἔφη· „ τέκνον, ὁ 'Αλέξανδρος αἰχμάλωτον ὄντα τὸν σὸν ἀδελφὸν ἐλυτρώσατο μετὰ τῆς αὐτοῦ γυναικὸς ἐκ τοῦ τυράννου τῶν Βεβρύκων καὶ φίλος ἡμῖν ὁ κοσμοκράτωρ κατένευσεν ἔσεσθαι, ὥστε τὸν ποιήσαντα ἔλεος μετὰ τοῦ ἀδελφοῦ σου πρέσβυν ἐξαπέστειλεν. καὶ ἀντὶ τῶν ἀγαθῶν, ὧνπερ παρ' ἡμῶν ὀφείλει παθεῖν, ἀλλὰ καὶ φονευθῆναι τοῦτον ἀπειλεῖς; μὴ τέκνον· καὶ γὰρ 'Αλέξανδρος φιλικῶς ἡμῖν διάκειται, οὗπερ οὐκ ἐσμεν ἄξιοι· καὶ μὴ τῷ θυμῷ αὐτοῦ ἐπάξῃ ἐφ' ἡμᾶς· ἀκηκόαμεν γὰρ μηδένα εὑρεθῆναι ἐν τῇ ὑπ' οὐρανῶν τοῦτον παροξύναντα καὶ μὴ ἐμπεσεῖν εἰς τὰς χεῖρας αὐτοῦ. βλέπε οὖν, τέκνον, μὴ καὶ ἐν ἡμῖν τὰ ὅμοια πᾶσιν συμβήσεται. " Δορὴφ δὲ ἐπὶ τούτοις οὐκ ἐπείθετο. ἔλεγε δὲ ἀναμφιβόλως· „ 'Αντίοχον ἀποκτενῶ· ὡς 'Αλεξάνδρῳ λύπην ἐπάξω τὸν αὐτοῦ θανατώσας παῖδα 'Αντίοχον· καὶ γὰρ αὐτὸς οὐ μετρίως <μὲ> λελύπηκεν Πῶρον τὸν ἐμὸν πενθερὸν ἀποκτείνας· καὶ εἰ {καὶ} μετὰ ταῦτα δόξει μοι ἀποθανεῖν, οὐδεμία μοι ἔσται φροντίς. "

ἐπὶ τοῦτο 'Αλέξανδρος παραγίνεται, ἔνθα ἦν κρυπτόμενος παρὰ Κανδάκης, καί φησιν πρὸς Δορήφ· „ εἰ θέλεις θανατῶσαί με, τὸ ξίφος μοι παρέσχε, κἀγὼ ἐμαυτὸν ἀνελῶ· οὐ γὰρ παρ' ἑτέρου ἀποθανοῦμαι. καὶ γὰρ οὐ φοβερὸς καθέστηκε τοῖς Μακεδόσιν ὁ θάνατος, καθὼς ὑμεῖς τοῦτον δεδοίκατε. τί οὖν ἀπολογήσῃ πρὸς 'Αλέξανδρον, ἐπὰν καταλάβῃ τὸ τοῦ οἰκέτου ἐκζητήσων αἷμα; οὐ γὰρ θλῖψις αὐτῷ περὶ ἐμοῦ· οὔτε γὰρ ἄγγελοι ἀποστελλόμενοι πολύτιμοι τυγχάνουσι πρὸς μάχην βασιλικήν.

(I) ἡ δὲ Κανδ. .... φροντίς p. 384,I8 om. D / Δορήφ C : Δορύφ R, infra ut C / Δορήφ, τὸν καὶ Θοάντα καὶ Φύρμον καλούμενον C (2) αἰχμάλωτον ... Βεβρύκων RC : τὸν σὸν ἀδελφὸν αἰχμαλωτισθέντα ἐλυτρώσατο Q, qui abhinc cum codd. R et C rursus comparari potest (3) μετὰ καὶ τῆς C (4) φ. ἡμῶν (6) nota vocem singularem πρέσβυν pro πρεσβευτήν (8) καὶ γὰρ... διάκειται R : καὶ γὰρ 'Αλ. ἐπίκειται· καὶ μὴ τὸν φιλικῶς ἡμῖν διακείμενον Q / ἡμῖν R : ἡμᾶς C (9) οὗπερ RC : ὅπερ Q / καὶ τὸν θυμὸν αὐτοῦ ἐπάξει ἐφ' ἡμᾶς· καὶ κακῶς ἡμῖν ἔσται Q (I0) ὑπ' οὐρανόν C : ὑπ'οὐρανότι Q (II) παροξύναντα C : παρωξύνονται R : παροργήσαντα Q (I2) βλέπε... συμβήσεται RC : om. Q (I3) Δωρίβ Q / ἀλλ' ἔλεγεν ἀναμφ. τὸν 'Αλ. ὡς 'Αντ. ἀποκτεῖναι C (I4) ἀποκτεῖναι Q / λύπην ἐπάξω R : λύπην, μῆτερ, ἐπάξω C : λύπη περιποιήσει Q (I5) 'Αντ. om. Q (I6) μέ CQ : om. R / καί R : om. CQ (I7) δόξει μοι ἀποθανεῖν R : om. C : δόξει με ἀποθανεῖν Q (I8) ἔσται RC : om. Q / post φροντίς alia tradit Q usque ad. p. 386,I5 (I9) ἐπὶ τούτοις D, qui abhinc pergit, et C / 'Αλ. παραγίνεται RQ : ἐξῆλθεν 'Αλ. D : 'Αλ. ὡς 'Αντ. παραγ. C / ἔνθα RC : ὅθεν D / κρυπτόμενος RDQ : κεκρυμμένος C (20) καὶ ἐπορεύθη πρὸς Δορ. καὶ εἶπεν D / τὸν Δορ. C / πρὸς Δορήφ·/ εἰ θέλεις θαν. με R : Δωρῖβ, θελών με θαν. Q (2I) ἐμαυτόν DCQ : αὐτόν R / καὶ γὰρ οὐ RC : οὐ γάρ D (23) καθὼς ... δεδ. RC : καθὼς ὑμῖν D : καθὼς καὶ ... δεδ. Q (24) τί ... 'Αλέξανδρον RC : τέως, τίνα ἀπολογίαν πρὸς 'Αλ. δώσεις D : τί οὖν ἀπολογίσασθε (possis : -σθαι) πρὸς 'Αλέξανδρον Q / τὸ ... αἷμα RDC : τὸ τοῦ οἰκέτην (sic) ἐκζητῆσαι αἷμα Q (24-25) sensus est: et si scire vis, quae Alexandro respondetis poscenti piacula legati interfecti, scias hoc facinus Alexandro pro nihilo futurum esse etc.

(25 - 27) αὐτῷ ..... βασιλικήν R : αὐτῷ γενήσεται περὶ ἐμοῦ, ἀλλὰ περὶ τῆς ἰδίας καταφρονήσεως· καὶ γὰρ οἱ ἀποστελλόμενοι πρὸς μάχην βασιλικὴν ἄγγελοι οὐ τυγχάνουσι πολύτιμοι, ἀλλ'οὐδ'ἐκ τῶν ἐνδόξων·D : αὐτῷ περὶ ἐμοῦ, ἢ καὶ οὐ μελήσει αὐτῷ περὶ ἐμοῦ· ἐγὼ γὰρ 'Αντίοχος καλοῦμαι· οὔτε γὰρ..... τυγχ. πρός τινας ἀγγελίας C

ὥστε οὖν ἐὰν ὧδε μὲ ἀναιρήσητε, ἔχει ἄλλους ἀγγέλους πλείονας 'Αλέξανδρος. εἰ δὲ βούλεσθε παρ' ἐμοῦ τὸν ἐχθρὸν ὑμῶν λαβεῖν αἰχμάλωτον 'Αλέξανδρον, ὑπόθεσθέ μοί τινα μέρη δωρεᾶς δοῦναι ἐνταῦθα, ἵνα καὶ πρὸς ὑμᾶς κἀγὼ καταμείνω καὶ καταρτίσω τὸν 'Αλέξανδρον ὧδε παραγενέσθαι, ὡς ὑμῶν βουλομένων ἃ ἡτοιμάσατε δῶρα καὶ ὄψιν αὐτοῦ ἀποδοῦναι. καὶ τότε τὸν ἐχθρὸν ὑμῶν λαβόντες ὑποχείριον ἑαυτοὺς ἐκδικήσαντες ἀναπαύθητε." ἐπείσθησαν δὲ ἐπὶ τοῦτο οἱ ἀδελφοὶ καὶ ἦλθον εἰς ἀγάπην, ἐγκρατῶς δὲ τῆς Κανδάκης φυλαττούσης τὸ μυστήριον 'Αλεξάνδρου.

μετὰ ἡμέρας δέκα δίδωσι αὐτῷ δῶρα βασιλικά· στέφανον ἀδαμάντινον πολύτιμον καὶ θώρακα δι' ὀνύχων καὶ βηρύλλων καὶ χλανίδα ἀστεροφεγγῆ ὁλοπόρφυρον διὰ χρυσοῦ. καὶ ἐκπέμπει αὐτὸν μετὰ παραδοχῆς πολλῆς καὶ τῶν ἰδίων στρατιωτῶν. συνάμα δὲ καὶ Κανδάβλης συνεξῆλθε μετ' αὐτοῦ μέχρι τῶν ἑαυτοῦ ὁρίων, ἐπιδοὺς αὐτῷ καὶ ἐκ τῶν αὐτοῦ παίδων ἄνδρας τριάκοντα, οἵτινες καὶ μέχρι τοῦ στρατοπέδου ἦλθον σὺν 'Αλεξάνδρῳ. ἐκεῖσε δὲ αὐτὸν γνωρίσαντες οὐ μετρίως κατεπλάγησαν. ὁ δὲ 'Αλέξανδρος αὐτοὺς φιλοφρονησάμενος ἀπέστειλε πρὸς Κανδάβλην εἰπών· „ἄπιτε πρὸς τὴν βασιλίδα Κανδάκην καὶ εἴπατε· ,'Αλέξανδρος τῷ ἰδίῳ στρατοπέδῳ διασέσωσται, ἐφ' ἡμᾶς δὲ τὴν φάλαγγα ἐπεκτεῖναι ἐβούλετο, εἰ μὴ τὸ ἕν σοι αὐτὸν κατεκράτησεν δέος.' "

μετ'αὐτοὺς δὲ παρεγένετο καὶ ὁ ἕτερος Χαλδαῖος πρὸς 'Αλέξανδρον. καὶ ἰδὼν τὴν διάθεσιν τοῦ σημείου ἀνεβόησε μεγάλως δακρύων καὶ τὰ ἱμάτια αὐτοῦ διέρρηξε δεινοπαθῶν. ὁ δὲ 'Αλέξανδρος ἰδὼν αὐτὸν περιπαθῆ γενόμενον ἠγωνίασεν οὐ μετρίως καὶ κελεύει αὐτὸν θαρροῦντα λέγειν. ὁ δὲ λέγει αὐτῷ· „ ταῦτα, βασιλεῦ, οὐκ ἔστιν συγκρῖναι τοῖς ζῶσιν. " τοῦ δὲ 'Αλεξάνδρου ἀπαιτοῦντος αὐτὸν τὰ τῆς συγκρίσεως τοῦ σημείου ἀπεκρίθη αὐτῷ ταῦτα· „ κράτιστε βασιλεῦ πάντων ἀνθρώπων, ὁ μὲν τύπος ὁ ἀνθρώπινος σὺ εἶ, τῶν δὲ θηρίων αἱ μορφαὶ οἱ περί σε ὄντες εἰσίν. καὶ εἰ μὲν οὖν τὸ ἄνω μέρος ἔζη καὶ ἐν κινήσει ἦν καθάπερ καὶ τὰ ζῷα τὰ ὑπὸ τοῦτο ὄντα, εὐάρμοστον ἦν ἂν καὶ ἀγαθὸν τὸ σημεῖον. ὥσπερ γὰρ τοῦτο μετέστη ἐκ τοῦ ζῆν, οὕτως καὶ σὺ, βασιλεῦ. καὶ ὃν τρόπον τὰ θηρία τὰ ὑπὸ τοῦτο ὄντα - ἄλαλα γὰρ καὶ ἄγρια τυγχάνουσι πρὸς τοὺς ἀνθρώπους - , οὕτως καὶ οἱ περί σε ὄντες διάκεινται πρὸς σέ. " καὶ ταῦτα εἰπὼν ὁ Χαλδαῖος ἐξῆλθε. τὸ δὲ βρέφος αὖθις καῆναι εἶπεν ὁ Χαλδαῖος. καὶ ταῦτα ἀκούσας 'Αλέξανδρος τὰ καθ' ἑαυτοῦ διετύπου καθ' ἡμέραν.

(I) τὰ δὲ ζῷα .... σώματι RCBL : τὰ δὲ ζῷα τὰ ὑποτεταγμένα ἔθνη τῷ ἀνθρωπίνῳ σώματι ἔφασκον εἶναι D (4) ἕτερος RDBL : κατὰ πολὺ διαφέρων C (5) σημείου RDBLA : παιδίου C (6) τὰ ἱμάτια... δεινοπαθῶν RCBL : τὴν στολὴν αὐτοῦ διορύσσων καὶ δεινοπαθῶν D (8) κελεύει.... λέγειν R : κελεύει οὖν αὐτίκα θαρροῦντα λέγειν αὐτὸν τὰ τοῦ σημείου ἀνενδευάστως D : κελεύει.... λέγειν τὰ ἐκ τοῦ σημείου θεωρούμενα CBL sim. A / ὁ δὲ ἤρξατο λέγειν D (9) αὐτῷ CBLA : αὐτόν R / ἐν τοῖς ζῶσι D (IO) ἔτι ἀπαιτ. D / αὐτόν RBLA : om. D : αὐτῷ C (II) τοῦ σημ. ... ταῦτα RCBL : αὐτὸς ἀπεκρίνατο D / κρατ. .... ἀνθρ. RCBLA : βασιλεῦ D (I2) ὁ ἀνθρώπινος RCBLA : τοῦ ἀνθρωπίνου σώματος D (I3) εἰσίν. καὶ RCBL : om. D (I4) ἐν κινήσει RCBLA : κινούμενον D (I5) τοῦτο RDL : τούτου C : τούτων B / ἄν D : om. RC / εὐαρμοστὸν.... σημεῖον RDC : om. β (I6) γὰρ οὖν CLA / ὥσπερ.... βασιλεῦ R : ἐπείδε τοῦτο τέθνηκε, τεθήξῃ πάντως καὶ σύ, βασιλεῦ, οἱ δὲ ὑπό σε ζήσονται D (I7) καὶ ὃν RCBLA : ὅν D / τοῦτο RDLA : τούτου C : τούτων B / ἄλαλα γὰρ.... ἀνθρώπους D : ἄλαλα.... ἀνθρ. C : om. R (I8) οὕτως RCBL : καθῶς D (I9) ὄντες C : ὄντα R : om. D / διάκεινται πρὸς σέ R : om. D : διάκεινται ἀγρίως· πρὸς σέ C / ταῦτα RCBLA : τοῦτο D (20) δέ RCBLA : om. D / αὖθις καῆναι εἶπεν RCL : κατακαῆναι κελεύσας D / ὁ Χαλ. .... ἀκούσας R : om. DC (2I-22) καὶ.... διετύπου R : ὁ δὲ ᾽Αλ. ἔκτοτε τὰ καθ᾽ ἑαυτὸν διετύπου D : om. C (22) καθ᾽ ἡμέραν R : νύκτωρ καὶ μεθ᾽ ἡμέραν D : om. C

Epistula Alexandri ad matrem scripta - e codice C

30a

γράφει τῇ μητρὶ αὐτοῦ Ὀλυμπιάδι ἐπιστολὴν περιέχουσαν οὕτως·

–Ἐπιστολὴ Ἀλεξάνδρου πρὸς Ὀλυμπιάδα.–

Ἀλέξανδρος βασιλεὺς Ὀλυμπιάδι τῇ μητρί μου χαίρειν. τῶν μὲν ἐν ἀρχῇ καταστασθέντων ἡμῖν τῶν κατὰ τὴν Ἀσίαν πραγμάτων πέπεισμαι εἰδέναι σε ἐκ τῶν παρ' ἐμοῦ γραφέντων σοι ἐπιστολῶν. ἐδόκει δέ μοι περὶ τῆς ἄνω προνοίας βελτίον δηλῶσαι σε, καὶ τὰ ἐμοὶ συμβάντα ἐν ταύτῃ ἀνάγνωθι τῇ ἐπιστολῇ·

καθὼς γὰρ πρῷόν σοι εἶπον, ὅτι εἰς τὴν Ἰνδίαν παραγενόμενοι ἐν τρισὶ συμβολαῖς τοὺς Ἰνδοὺς ἐπολεμήσαμεν, τὸ δὲ τελευταῖον μετὰ Πώρου τοῦ βασιλέως μονομαχήσας τοῦτον ἀπέκτεινα καὶ πᾶσαν τὴν Ἰνδίαν παραλαβὼν καὶ ὁμόνοιαν Μακεδόσιν καὶ Πέρσαις καὶ Ἰνδοῖς ποιησάμενος τοὺς πάντας ἀνέλαβον.

καὶ εἰς τὴν Πρασιακὴν χώραν ἐλθὼν εὗρον ἐκεῖ τοῦ Ἡλίου καὶ τῆς Σελήνης ἱερόν, ἔνθα ἦσαν δύο δένδρα ὅμοια κυπαρίσσοις, ἄρρεν καὶ θῆλυ, ἃ καὶ ἐλάλουν ἀνθρωπίνως. ἔλαβον οὖν παρ' αὐτῶν χρησμόν. τὰ δὲ τοῦ χρησμοῦ οὐκ εὔδηλά σοι ποιῶ διὰ τὸ ἔχειν λύπην πολλήν.

καὶ ἐκεῖθεν ἐξελθὼν εἰς τὰ Σεμιράμεως βασίλεια παρεγενόμην. ἔνθά τις ἐβασίλευεν ὡραῖα γυνή, τοὔνομα Κανδάκη, ἥτις ἀποστείλασα τὴν ἐμὴν εἰκόνα ἱστόρησε καὶ εἶχεν ἐν ἑαυτῇ. ὁπόταν δὲ ἦλθεν ὁ υἱὸς αὐτῆς Κανδαύλης εἰς τὸ στρατόπεδόν μου ζητεῖν παρ' ἐμοῦ βοήθειαν διὰ τὸ ἁρπαγῆναι τὴν γυναῖκα αὐτοῦ ἀπὸ τοῦ τυράννου τῶν Βεβρύκων,

(I ss.) inter κατέλαβον et καὶ δι᾽ ἡμερῶν (pag.422,I) solus codex C illam epistulam omnia huius libri III narrata repetentem ponit, quae difficillime legitur.

προκαθεσθῆναι τὸν Πτολεμαῖον ἐποίησα ἀντὶ ἐμοῦ. ἐγὼ δὲ ὡς ᾿Αντίοχος γεγονώς, ἀπήλθομεν μετὰ Κανδαύλους εἰς τὴν τῶν Βεβρύκων χῶραν καὶ τούτους τροπωσάμενοι παρέδωκα τὴν γυναῖκα τῷ Κανδαύλῃ. ἐκεῖσε δὲ παραλαβὼν αὐτόν; ἤλθομεν πρὸς τὴν Κανδάκην τὴν αὐτοῦ μητέρα. ἔνθα καὶ συνέβη με περιαγῶς (?) λυπηθῆναι διὰ τὸ ἀναγνωρισθῆναί με παρ' αὐτῆς. ἐκείνη δὲ ἐφύλαξέ με καὶ ἐκ τοῦ υἱοῦ αὐτῆς Δορὴφ τοῦ μικροτέρου βουλομένου με ἀναιρῆσαι ὡς ἄγγελον ᾿Αλεξάνδρου διὰ τὸ ἀναιρεθῆναι τάχα τὸν πενθερὸν αὐτοῦ Πῶρον παρὰ τοῦ ᾿Αλεξάνδρου, καὶ δῶρα πολλά μοι ἐπιδώσασα ἀπέστειλέ με ὑγιῆ εἰς τὸ στρατόπεδόν μου.

ἐκεῖθεν οὖν διελθόντες εἰς τὰς ᾿Αμαζόνας παρεγενόμεθα καὶ ταύτας δι' ἐπιστολῶν ὑποταγῆναι ἡμῖν ἐποιήσαμεν. καὶ πάλιν ἐκεῖθεν περιπατήσαντες τῷ Εὐρυμίθρῃ ἐπολεμίσαμεν τῷ βασιλεῖ τῶν Βελσυρῶν. καὶ τοῦτον τροπωσάμενοι εὕρομεν ἐκεῖσε ἔθνη πολλὰ πονηρὰ ἐσθίοντα σάρκας ἀνθρώπων καὶ πίνοντα αἷμα ζῴων ὡς ὕδωρ· τοὺς γὰρ νεκροὺς αὐτῶν οὐκ ἔθαπτον, ἀλλ' ἤσθιον. καὶ θεασάμενος τὰ τοιαῦτα πονηρὰ ἔθνη καὶ δεδοικὼς ἐδεήθην τῆς ἄνω προνοίας καὶ ἐνίσχυσα ἐπ' αὐτοὺς καὶ ἐν ῥομφαίᾳ ἀπέκτεινα τὸ πλῆθος αὐτῶν, καὶ φόβος πάντοθεν ἐπ' αὐτοὺς ἔπεσεν. ἀκούσαντες δὲ, ὅτι ὁ τῶν Μακεδόνων βασιλεὺς ᾿Αλέξανδρος παρεγένετο, εἶπον, ὅτι ἐν ῥομφαίᾳ πάντας ἀποκτενεῖ καὶ πορθῆσαι θελήσει τοὺς ἐχθροὺς αὐτοῦ καὶ βασιλεῖς καὶ καταδυναστεῦσαι καὶ συνλεῦσαι αὐτούς, φόβῳ συνείχοντο ἅπαντες καὶ εἰς φυγὴν τραπόντες ἀλλήλους κατεδίωκον. καὶ οὕτως ἔθνος ἐπ' ἔθνος ἐπολέμουν· ἦσαν γὰρ ἔθνη καὶ οἱ

τούτων βασιλεῖς εἰκοσιδύο.

καὶ κατεδίωξα αὐτοὺς ἐν δυνάμει, ἕως εἰσῆλθον ἐν δυσὶν ὄρεσιν, ὧν ἡ προσηγορία οἱ Μαζοὶ τοῦ Βορρᾶ. καὶ οὐκ εἶχον εἴσοδον οὔτε ἔξοδον ἑτέραν, ὑπερβάλλουσαι γὰρ εἰς ὕψος τὰς τῶν οὐρανῶν νεφέλας καὶ τούτων κορυφαί. καὶ οὕτως ἐκτεταμένα ἦσαν τὰ ὄρη ὡς τείχη δύο. αὖθις οὖν ἐξελιπάρησα τῇ ἄνω προνοίᾳ ἐξ ὅλης μου τῆς καρδίας, καὶ εἰσήκουσε τῆς δεήσεώς μου, καὶ προσέταξεν ἡ ἄνω πρόνοια τοῖς δυσὶν ὄρεσιν, καὶ ἐσαλεύθησαν. καὶ ἐκεῖ πύλας ἐποίησα χαλκᾶς, πλάτος πηχῶν εἰκοσιδύο καὶ ὕφος πηχῶν ἑξήκοντα. καὶ ἀσφαλῶς καταχρίσας τὰς πύλας ἀσυγχύτῳ (sic), ἵνα μήτε πῦρ μήτε σίδηρος, ἐν οἵᾳ δήποτε ἐπινοίᾳ γίνεται, ἀναχαλκεύσῃ τὰς πύλας. τὸ γὰρ πῦρ ἀγόμενον εἰς αὐτὰς σβέννυται καὶ ὁ σίδηρος συντρίβεται. καὶ ἔξωθεν τούτων τῶν φοβερῶν πυλῶν ἐθέμην ἑτέραν οἰκοδομὴν διὰ λίθων πετρίνων. καὶ τὸ πλάτος τῶν λίθων ἦν ἕκαστον ἀνὰ πηχῶν ἕνδεκα καὶ τὸ ὕφος ἀνὰ πηχῶν εἴκοσι καὶ τὸ εὖρος ἀνὰ πηχῶν εἴκοσι.

καὶ δὴ τῶν ἐκεῖθεν ἐξελθόντες εἰς τὸν Πρύτανιν ἤλθομεν ποταμόν. ἔνθα φόβους ὑπέστημεν πολλοὺς διὰ τὸ βροντὰς καὶ κεραυνοὺς πλείστους καὶ βροχὰς γεγονέναι, ἔπειτα καὶ καίσωνα μέγαν, ὡς μηδένα ὑπομεῖναι.

κἀκεῖθεν εἰς πετρώδεις τόπους καὶ ἐρήμους διαπεράσαντες ἤλθομεν ἐπὶ τὰς ἑτέρας Ἀμαζόνας καὶ ταύτας δι' ἐπιστολῶν ὑποτάξαντες τῶν ἐκεῖσε διήλθομεν. καὶ ἀγρίους ἀνθρώπους εὕρομεν καὶ θηρία πάμπολλα, καὶ μόλις ἐκ τούτων φυγόντες εἴς τινα νῆσον κατηντήσαμεν. εὕρομεν

(II) καταχρύσας C, correxi, cf. p. 404,I2 περιέχρισεν / ἀσυγχύτῳ C hic : ἀσικήτῳ C p. 404,I2
(I4) σβέννυται C (22) καίσων (i.q. καύσων) solum apud C invenitur, cf. p. 4II, n. 4

- e codice C -

οὖν ἐκεῖ πόλιν τὴν τοῦ Ἡλίου, ἧς τὰ κάλλη ἦσαν ἐξαίρετα. ἐν ᾗ ἦν καὶ βωμὸς περικαλλής· ὁ δὴ ἱερεὺς αὐτοῦ εἶπεν ἡμῖν ἀναχωρεῖν τῶν ἐκεῖσε.

καὶ τῆς νήσου ἐκπλεύσαντες δι' ἡμερῶν τινων ἤλθομεν εἰς τὸν Λύσου λιμένα. καὶ εἴς τι ὄρος ἀνελθόντες εὕρομεν οἰκίας καλὰς καὶ περίβολον ἐν αὐταῖς μέγαν καὶ ἱερόν. ἐν ᾧ ἦσάν τινα εἴδη ἄξια θαύματος καὶ ὀρτυγοτροφεῖον χρυσοῦν, ὅπερ εἶχεν ἔνδον περιστεράν, ἥτις ἀνθρωπίνως μοι ἐλάλησεν ὑποστρέφειν εἰς τὰ ἴδια. ἐγὼ δὲ βουλευσάμενος αὐτῆς καθελεῖν ὑπὸ τῶν ἰδίων μου φίλων ἐκωλύθην εἰπόντων, ὅτι εἶναι ἱερόν.

ἐκ τοῦ τόπου οὖν ἐκείνου ἀναχωρήσαντες εἰς τὰ τοῦ Κύρου βασίλεια ἤλθομεν. καὶ μίαν πόλιν καταλαβόντες, ἐν ᾗ ἦν οἶκος μέγας, ἔνθα ὁ βασιλεὺς Κῦρος ἐχρημάτιζεν. ἐκεῖ οὖν πάμπολλα θεάματα εἴδομεν καὶ κρατῆρα μέγαν καὶ ὁλόχρυσον, ὅνπερ ἐξ Αἰγύπτου εἶπον ἐνεχθῆναι, καὶ λύραν αὐτομάτως κρουομένην καί τινα ἄλλα, ἃ οὐδεὶς δύναται ἑρμηνεύειν.

ἐκεῖθεν οὖν ἀπάραντες τανῦν εἰς Βαβυλῶνα ἤλθομεν. καὶ ἐν εἰρήνῃ ὑπὸ πάντων γενόμενος τάδε σοι γέγραφα.

ἔρρωσο, γλυκυτάτη μῆτερ.

ταύτην οὖν γράψας τὴν ἐπιστολὴν Ἀλέξανδρος ἀπέστειλε τῇ μητρὶ αὐτοῦ εἰς Μακεδονίαν.

31

- denuo e codice R -

τοῦ δὲ Ἀντιπάτρου ἐξαναστάντος Ὀλυμπιάδι τῇ μητρὶ Ἀλεξάνδρου, ἐποίησεν εἰς αὐτήν, ὅπερ ἐβούλετο. τῆς δὲ

(II) εἶναι (= ἐστίν) **nota formam neograecam**

(24) ἐξαναστάντος RD : ἐπαναστάντος CBL / τοῦ δὲ Ἀντ. .... ὁ Ἀντίπατρος R : ἤδη δὲ τοῦ Ἀντ. ἐξαναστάντος κατὰ τῆς μητρὸς Ἀλεξάνδρου Ὀλυμπιάδος καὶ ποιήσαντος εἰς αὐτήν, ὅπερ ἐβούλετο, αὕτη δεινοπαθήσασα παραδηλοῖ τῷ υἱῷ αὐτῆς Ἀλεξάνδρῳ διὰ γραφῆς τὰ καθ' αὐτὴν, καὶ ὅπως πολλάκις βουληθεῖσα διελθεῖν εἰς τὴν Ἤπειρον ἐκωλύθη παρὰ τοῦ Ἀντιπάτρου D **elegantius**

(25) τῆς δὲ Ὀλ. .... καὶ βουλ. R : τῆς μητρὸς Ἀλεξάνδρου Ὀλυμπιάδος καθ' ἑκάστην διὰ γραμμάτων εἰς ὑπόμνησιν ἀγούσης αὐτῷ τὰ κατὰ τοῦ Ἀντιπάτρου – ἤχθετο γὰρ ὥσπερ μήτηρ περὶ Ἀλεξάνδρου – καὶ βουλ. C

'Ολυμπιάδος πλεονάκις γραφούσης 'Αλεξάνδρῳ περὶ τοῦ 'Αντιπάτρου καὶ βουλομένης αὐτῆς διελθεῖν εἰς τὴν Ἤπειρον, διεκώλυεν αὐτὴν ὁ 'Αντίπατρος. τοῦ δὲ 'Αλεξάνδρου δεξαμένου τὰ γράμματα 'Ολυμπιάδος τῆς μητρὸς αὐτοῦ καὶ γνοὺς δι' αὐτῶν τὴν ἐνεστηκυῖαν αὐτῆς λύπην ἀπέστειλεν πρὸς τὸν 'Αντίπατρον Καρτερὸν τοὔνομα εἰς Μακεδονίαν ἐπιμελήτην αὐτῆς γενόμενον. αἰσθόμενος δὲ 'Αντίπατρος τὴν ἐπίνοιαν 'Αλεξάνδρου καὶ τὴν ἄφιξιν Καρτεροῦ καὶ εἰδὼς τοὺς στρατιώτας ἀνακομίζοντας ἀπὸ 'Αλεξάνδρου εἰς Μακεδονίαν καὶ Θετταλίαν ἕνεκεν αὐτοῦ, ἐφοβήθη καὶ ἦλθεν εἰς δολοφονίαν 'Αλεξάνδρου, αἰσθόμενος περὶ ὧν ἔπραξεν εἰς 'Ολυμπιάδα. καὶ τοῦτο διαλογιζόμενος ἐσκεύασε φάρμακον δηλητήριον, ὃ οὐκ ἔφερεν ἀγγεῖον οὔτε χαλκοῦν οὔτε ὑάλινον οὔτε κεράμιον, ἀλλ' εὐθέως ⌊ἐρρήγν⌋υτο. ἐν μολιβδίνῃ οὖν πυξίδι βαλὼν τὸ φάρ⌊μακον⌋ ὁ 'Αντίπατρος καὶ περιθάλψας ἔξωθεν ἑτέρᾳ πυξίδι σιδηρᾷ δέδωκεν τῷ ἰδίῳ υἱῷ καὶ ἀπέστειλεν τοῦτον εἰς Βαβυλῶνα 'Ιούλλῳ τῷ πιγκέρνῃ 'Αλεξάνδρου τοῦ βασιλέως, συλλα⌊λήσας⌋ αὐτῷ ὑπὲρ τῆς τοῦ φαρμάκου δεινότητος καὶ θανατηφόρου δυνάμεως, καὶ ὡς, ἐὰν 'Αλέξανδρον διὰ τούτου ἀνέλῃ, γαμβρὸν αὐτὸν ἐπὶ τῇ γνησίᾳ τούτου ποιήσειε θυγατρί.

(I) πλεονάκις BLA : πλεονίκα R / Ἀλεξάνδρῳ dedi : Ἀλεξάνδρου R : αὐτῷ BL (3) τοῦ δὲ Ἀλ. .... αὐτοῦ RCBL : ὁ δὲ Ἀλέξανδρος δεξάμενος τὰ γράμματα τῆς μητρὸς αὐτοῦ Ὀλ. D (5) ἐνεστεκ. CBL : ἀνεστεκ. R : om. D / αὐτῆς dedi : ἑαυτῆς R : ἐκείνης D : τῇ μητρὶ αὐτοῦ CL : τῆς μητρὸς αὐτοῦ B (7) αὐτῆς CBL : ἑαυτῆς R / ἐπιμελ. αὐτ. γεν. (R)CBL : ὡς ἂν ἐπιμελητὴς Ὀλυμπιάδος γένηται τῆς ἑαυτοῦ μητρός D (8) τὴν ἄφιξιν DC : ἄφιξιν RBL (8-IO) καὶ εἰδὼς.... θετταλίαν RBL : ἅμα δὲ καὶ τὸ στῖφος εἰδὼς τῶν στρατιωτῶν τῶν εἰς Μακ. καὶ θεττ. ἀφικομένων D (9) εἰδὼς RBL : ἰδὼν C / ἀνακομίζοντας RBL : παραγενομένους C (IO) αὐτοῦ RDBL : τούτου C / ἐφοβήθη λίαν CB / καὶ ἦλθεν.....Ἀλ. RCB (sim.L) : καὶ δολοφονίαν ἐμελέτησε κατ' Ἀλεξάνδρου D (II) αἰσθόμενος.... ἐσκεύασε R : καὶ δὴ ἐσκεύασε D : φοβούμενος δὲ περὶ ὧν ἔπραξεν εἰς Ὀλυμπιάδα, μήποτε εἰς παραφυλακισμὸν ἔλθῃ καὶ κακῶς τιμωρηθήσεται· ἤκουσε γὰρ τὸν Ἀλέξανδρον πολὺ ἐπιβεβηκέναι πρὸς ὑπερηφανίαν διὰ τὰς ἐπιτελουμένας αὐτῷ πράξεις C, sim. BL (I3) ὃ.....κεράμιον R (sim.CBL) : ὅπερ οὐκ ἠδύνατο φέρειν ἀγγεῖον χαλκοῦν ἢ ὑέλλινον εἴτε κεράμειον D (I4) ὑάλινον RBL : ὑέλινον C / ἀλλ' εὐθέως RCBLA : εὐθέως γὰρ D (I5) ὁ δὴ φάρμακον ἐν μ.π.β. ὁ Ἀντ. D / πυξίδι DCBL : πυξίδᾳ R ut infra lin.I6 (I6) περιθάλψας RDBLA : περικαθάψας C / ἔξωθεν D : om. RCBLA / πυξ.σιδ. DCBL : ⌞πυξί⌟δᾳ R / δέδωκε ταύτῃ D (I7) τοῦτον D : om. RCBL / Ἰούλλῳ CBL : Ἰούλῳ R : Ἰόλλᾳ A (I8) πιγκέρνῃ R : ἐπικέρνῃ CB : ἐπιβέρνῃ L / πρὸς Ἵουλλον τὸν πιγκέρνην D / συλλ. αὐτῷ CBL : συλλα[ ] αὐτῶν R : συμφωνήσας μετ' αὐτοῦ D (I9) δυνάμεως καὶ δεινῆς κατασκευῆς αὐτοῦ C (20-2I) καὶ ὡς....θυγατρί D : ὅπως, ἐὰν Ἀλέξανδρον, ἐν τοῖς πολεμίοις ὑπὸ τῶν πολεμίων δεξάμενος, τέλος λάβῃ, εἰς τὴν γνησιωτάτην μου θυγατέραν R : ὅπως, ἐάν τι αὐτῷ ἐν τοῖς πολέμοις ὑπὸ τῶν πολεμίων συμβῇ, δεξάμενος εἰς καλὸν τέλος λάβῃ· καί, ἐὰν αὐτὸν τὸν Ἀλέξανδρον θανάτῳ ἀπολέσῃ διὰ φαρμάκου, ἔσται μοι γαμβρὸς εἰς τὴν θυγατέραν μου C : ὅπως, ἐάν τι ἑαυτῷ.... (ut C) συμβῇ, δεξ. τέλος λάβοι B : sim. L .

ἀφικόμενος δὲ ὁ υἱὸς Ἀντιπάτρου εἰς Βαβυλῶνα συνελάλησεν Ἰούλλῳ τῷ πιγκέρνῃ λάθρα περὶ τῆς τοῦ φαρμάκου δόσεως, τοῦ Ἰούλλου οὖν ἐν λύπῃ φερομένου πρὸς Ἀλέξανδρον· πρὸ ὀλίγων γὰρ ἡμερῶν παραπεσόντος Ἰούλλου, ὁ Ἀλέξανδρος ῥάβδῳ κατὰ τῆς κεφαλῆς δεδωκὼς ἐτραυμάτισεν αὐτὸν δεινῶς· ὅθεν Ἴουλλος ὀργιζόμενος Ἀλεξάνδρῳ ὑπούργησε τῷ Ἀντιπάτρου υἱῷ πρὸς τὸ παρανόμημα. παρέλαβεν δὲ σὺν αὐτῷ Ἴουλλος Μήδιόν τινα συνηδικημένον αὐτῷ. καὶ διετάξαντο εἰς ἑαυτοὺς, πῶς δώσουσιν τὸ φάρμακον Ἀλεξάνδρῳ πιεῖν. ἐν μιᾷ οὖν τῶν ἡμερῶν προσῆλθε τῷ Ἀλεξάνδρῳ ὁ ῥηθεὶς Μήδιος ἀξιῶν αὐτὸν εἰσελθεῖν ἐν τῇ οἰκίᾳ αὐτοῦ. καὶ πεισθεὶς Ἀλέξανδρος τῇ τούτου δεήσει ἥκεν ἐπὶ τὸν δεῖπνον αὐτοῦ. συνανεκλίθησαν δὲ τῷ βασιλεῖ Ἀλεξάνδρῳ τινές. τὸ δὲ μέλλον γίνεσθαι διὰ το⸤ῦ⸥ φαρμά⸤κου⸥ δ⸤όλιον⸥ ἐπιβούλευμα Περδίκας ⸤μὲν⸥ καὶ Π⸤τολε⸥μαῖ⸤ο⸥ς καὶ Ὄλκιος <καὶ> Ἀντίοχος καὶ Φίλιππος καὶ Σέλευκος καὶ Φίλων καὶ Λυσίμαχος καὶ Εὐμένιος καὶ Σκάμανδρος οὐκ ᾔδεισαν. ⸤οἱ δὲ⸥ ἄλλοι πάντες οἱ συνανακείμενοι Ἀλεξάνδρῳ μετειλή-

(2) Ἰούλῳ R / πιγκ. RD : ἐπικέρνῃ Ἀλεξάνδρου CBL / δόσεως καὶ δεινότητος C (3) τοῦ Ἰ. ....Ἀλέξανδρον RB : συνέβη γὰρ τότε τὸν Ἴουλον δεινῶς φέρεσθαι κατὰ τοῦ Ἀλεξάνδρου D : ἔτυχε δὲ τότε Ἰοῦλλον ἐν λ. φερόμενον πρὸς Ἀλ. C (3-5) πρὸ ὀλίγων.... δεινῶς RB : ἐπείπερ πρὸ ὀλίγων ἡμ. οὗτος ῥάβδῳ τούτου τὴν κεφαλὴν δεινῶς ἐτραυμάτισεν D (4) παραπεσ. Ἰούλου R (sim.B) : πταίσαντα τὸν Ἰοῦλλον C (6) Ἴουλλος D : Ἰούλος R : ὁ Ἰοῦλλος CB / ὅθεν....Ἀλεξάνδρῳ R : ὅθεν Ἴουλλος κατ' Ἀλεξάνδρου φερόμενός τε καὶ ὀργιζ. D (7) παρέλαβεν RCBL : παραλαβὼν D / δὲ σὺν αὐτῷ Ἰούλος (Ἰοῦλλος C) RC : μεθ' ἑαυτοῦ καὶ D (8) καὶ διετάξαντο.... δώσουσιν (δώσωσιν C)... πιεῖν RC : μεθ' οὗ βουλὴν ἐβουλεύσατο πονηράν, οἵῳ τρόπῳ τὸ φαρμ. Ἀλεξάνδρῳ δώσουσι πιεῖν D (IO) ἐν μιᾷ οὖν RD : τοῦ δὲ Ἀλεξάνδρου ἀναπαυσαμένου ἀπὸ δείπνου μεγάλου ἐν μιᾷ C / τῷ Ἀλ. RD : αὐτῷ CB / ὁ ῥηθεὶς Μήδιος D : Μήδιός τις R : τῇ ἐπαύριον Μήδιός τις CL : τῇ ἐπ. Μήδ. B (II) ἀξ. εἰσελθεῖν τοῦτον D / post αὐτοῦ add. C εἰς τὸ ἀνακλιθῆναι ἐν δείπνῳ / καὶ πεισθείς RCBL : πεισθεὶς δέ D (I2) ὁ Ἀλ. C / τούτου RD : τοῦ Μηδίου CBL / τὸν δεῖπ. RCBL : τὸ δεῖπ. D (I3) συναν. ... τινές RC (sim.BL) : καὶ συναν. αὐτῷ ἱκανοί D (I4) τὸ δὲ .... ἐπιβούλευμα.... R : τὸ δὲ μέλλον βούλευμα γίν. δ. τ. φ. δόλιον οὐκ ᾔδεισαν οἱ φίλοι αὐτοῦ ἤγουν... C : ἀφ' ὧν... D (I5-I7)

R:Περδ.μὲν καὶ Πτ.καὶ Ὅλ.,Ἀντ.καὶ Φίλ.καὶ Σέλ.καὶ Φίλων καὶ
D:Περδ. καὶ Πτ.καὶ Ὅλ.,Ἀντ.καὶ Φίλ.καὶ Σέλ., Φίλων καὶ
C:Περδ. καὶ Πτ., Ὅλ.καὶ Ἀντ., Φίλ.καὶ Σέλ., Φίλων καὶ
R:Λυσ.καὶ Εὐμ. οὐκ ᾔδεισαν
D:Λυσ.καὶ Εὐμ. οὐκ ᾔδεισαν τὸ τοῦ φαρμ.δόλιον ἐπιβούλευμα
C:Λυσ., Εὐμ.καὶ Σκάμανδρος.

(I8) μετειλ. .... φαρμ. RCBL : μέτοχοι τῆς πονηρᾶς ὑπῆρχουν πράξεως D

φασιν τῆς παρανόμου πράξεως τοῦ φαρμάκου, δεδωκότες ὅρκους ἀλλήλοις· ἐπεθύμουν γὰρ ἤδη πραγμάτων τοῦ Ἀλεξάνδρου.

ἤδη δὲ τοῦ Ἀλεξάνδρου συνανακλιθέντος αὐτοῖς ἐπὶ τὸ δεῖπνον προσήνεγκεν αὐτῷ ὁ Ἴουλλος ποτήριον ἄδολον. λόγου δὲ προσπεσόντος διατριβῆς ἕνεκεν τοῦ τόπου, ἤδη διεληλυθότος ἱκανοῦ χρόνου ἐπέδωκεν αὐτῷ Ἴουλλος καὶ αὖθις ἕτερον ποτήριον ἔχον τὸ φάρμακον. δεξάμενος δὲ Ἀλέξανδρος σὺν τῇ συντυχίᾳ καὶ πιὼν ἐξαίφνης ἀνεβόησεν ὡς τόξῳ πεπληγὼς διὰ τοῦ ἥπατος. μικρὸν δὲ ἐπισχὼν χρόνον καὶ τὴν ὀδύνην καρτερήσας ἀπῄει πρὸς ἑαυτόν, ἐντειλάμενος τοῖς παροῦσιν ἐπὶ τὸν δεῖπνον μένειν.

32

οἱ δὲ ἀγωνιάσαντες διέλυσαν παραχρῆμα τὸν δεῖπνον· καὶ παραχρῆμα ὁ ἀὴρ ἐμελανοῦτο καὶ οἱ ἀστέρες {ὡς} δίκην τὸ πραχθὲν μὴ φέροντες βλέπειν τὴν ἑαυτῶν ἤμβλυναν λαμπρότητα. ἐγνωκὼς δὲ Ἀλέξανδρος τὸ εἰς αὐτὸν πραχθέν, οἰμώξας σὺν δάκρυσιν ἔφη τοῖς συνανακειμένοις· „ ἀνάστητε, ὦ φίλοι μου, λοιπὸν τοῦ καθεύδειν· οὐκέτι Ἀλέξανδρος μεθ' ὑμῶν, οὐκέτι ἐν τοῖς ζῶσίν με ὄψεσθε, οὐκέτι σὺν ἐμοὶ ἐφιππεύσετε, οὐκέτι φωνῆς μου ἀκούσετε, οὐκέτι λοιπὸν σὺν ὑμῖν ἔσομαι. οἴμοι, πρὸς Ἅιδην κατεπείγομαι φθάσαι. καί, ὦ Ῥωξάνη, ἔφη, μικρὸν ἐμοὶ χαρίσαι σεαυτήν. " καὶ ὑπ' αὐτῆς κατεχόμενος κατεκλίθη εἰς τὸ παλάτιον αὐτοῦ.

(I) δεδ. ὅρκ. (ὅρκ. D) ἀλλήλ. RD : καὶ συμπεφωνηκότες ἦσαν τῷ 'Ιούλλῳ οἰνοχόῳ 'Αλεξάνδρου τοῦ βασιλέως δεδ. ὅρκ. ἀλλήλ., ἵνα διὰ τῆς κακοτέχνου ἐνέδρας ἀπαλλάξωσι τοῦ ζῆν τὸν βασιλέα 'Αλέξανδρον, ὃ δὴ καὶ ἐποίησαν C (2) ἐπεθύμουν... 'Αλ. RL : ....ἐφέσει τῶν 'Αλεξάνδρου πραγμάτων D : ἐπεθύμουν γὰρ οἱ παράνομοι τὸν θάνατον 'Αλεξάνδρου ἰδεῖν, ὥστε κατασχεῖν τῶν πραγμάτων αὐτοῦ C (3) ἤδη δὲ τοῦ D : τοῦ δέ RCLA (4) ἐπὶ τὸ δεῖπνον D : om. RCBLA / ὁ Ἴουλλος D : ὁ 'Ιούλος R : ὁ 'Ιοῦλλος C (5) ἄδολον ἐπὶ τὸ πιεῖν αὐτό C / τοῦ τόπου RDL : τινος χώρας C : τοῦτο πιεῖν B : τοῦ πότου A, quod malim (6) ἤδη.... χρόνου R : ὡς ἂν ἱκανοῦ χρόνου διεληλυθότος D : καὶ ἤδη διεληλυθυίας ὥρας ἱκανῆς καὶ ἤδη τοῦ πότου παρεκτείναντος ἐπὶ τὸ αὐτό C / αὐτῷ.... αὖθις D : 'Ιούλος R : ὁ 'Ιοῦλλος τῷ 'Αλ. C (8) δεξάμενος.... καὶ πιὼν RBL : ὅπερ δεξ. 'Αλ. καὶ σὺν τῇ συντ. πιὼν D : δεξ. δὲ 'Αλ., ὡς ἦν συναίρων λόγους τινὰς μετὰ τῶν ἀνακειμένων καὶ πιὼν C (9) ὡσεὶ τόξῳ διὰ τοῦ ἥπατος πληγείς D (IO) καρτερήσας RBA : ἐλεεινῶς ὑφιστάμενος D : ἐγκαρτερήσας CL / ἑαυτόν RDBLA : τὴν σκηνήν C (II) τὸν δεῖπνον RCL : τὸ δεῖπνον D (I2) τὸν δεῖπ. RC : τὸ δεῖπ. DBL / καὶ παραχρῆμα R simplicius : καὶ ἄλλος ἄλλοσε φορεύμενοι (malim φορούμενοι) διεσπάρησαν· τηνικαῦτα δέ D elegantius: καὶ ἔξωθεν ἀπεκαραδόκουν ἱστάμενοι τὸ συμβησόμενον· καὶ εὐθύς C (I3) ὡς δίκην R, variam lectionem sustuli (δίκην praepositionis vice fungitur, i. q. ὡς) : ὡς δή Q : om. DC / τὸ πραχθὲν RDC : τὸ προσταχθὲν Q (I5) ὁ δὲ 'Αλ. ἐγν. D (I6) ἀνάστητε, λέγων, ὦ φ. μ. C (I7) τοῦ καθ. RC : καὶ μὴ καθεύδετε D (I8) ἐν D : om. RC (I9) ἐφιππεύσητε R / τῆς φωνῆς C (20) σὺν ὑμῖν ἔσομαι RD : σὺν ἐμοὶ ἔσεσθε C : σὺν ἐμοὶ ἔσομαι Q (2I) καί, ὦ RC : εἶθ' οὕτως, ὦ D / σεαυτήν RDBL : αὐτήν C (2I-22) καὶ ὑπ.... κατεκλ. RC : ἣν καὶ κατασχὼν κατεχ. κατεκλ. ἅμα αὐτῆς D

ταῦτα Μακεδόνες ἅμα ἤκουσαν, τοῦ δείπνου εὐθὺς ἐξανέστησαν καὶ τὸν θρῆνον ἐκ πολλοῦ πόνου ψυχῶν ἐλεεινῶς ἐποίουν καὶ „ ὢ οἷόν τι γέγονεν, ἔλεγον, καὶ τίς ἡμῶν ἔσβεσε τῆς ἡμέρας τὸν λύχνον; τίς τὴν τῶν Μακεδόνων καταβαλεῖν ἠθέλησεν δύναμιν; τίς δὲ καὶ τὴν ἡμῶν χαρὰν εἰς πένθος μετέστρεψεν; διατί δὲ καὶ ἡ ἑσπέρα ταύτη γέγονεν ἡ παγκάκιστος καὶ φονεύτρια; διατί δὲ καὶ ὁ ταῦτα κατατολμήσας παραχρῆμα ἀνάρπαστος οὐκ ἐγεγόνει, ἀλλὰ τελευτήσαντος Ἀλεξάνδρου αὐτὸς τοῖς ζῶσιν συνῇ; " λοιπὸν Μακεδόνας ἔλαβον θρῆνος καὶ μέλος καὶ οὐαί, καὶ ἐν τούτοις πᾶσιν ἡ νὺξ ἐτελέσθη.

τῇ ἐπιούσῃ δὲ Ἀλέξανδρος ἐπὶ τὸ χεῖρον προέκοπτεν· ἐκέλευσε δὲ Περδίκαν, Πτολεμαῖον καὶ Λυσίμαχον ἐλθεῖν πρὸς αὐτόν. εἶπε δέ, ἄλλος τις μὴ εἰσέλθῃ σὺν αὐτοῖς, ἄχρις ἂν διαθήσεται. ἐξαίφνης δ' ἐκ τῶν Μακεδόνων ἐγένετο βοὴ καὶ συνδρομὴ πρὸς τὴν αὐλὴν τοῦ παλατίου Ἀλεξάνδρου ἐπὶ τὸ ἀνελεῖν τοὺς σωματοφύλακας αὐτοῦ, εἰ μὴ δείξωσιν αὐτοῖς τὸν βασιλέα. τοῦ δὲ Ἀλεξάνδρου πυνθανομένου περὶ τοῦ θορύβου προσῆλθεν αὐτῷ Ἀντίοχος καὶ ἐδίδαξεν αὐτὸν τὸ λεγόμενον ὑπὸ τῶν Μακεδόνων. προσέταξεν δὲ Ἀλέξανδρος τὴν κλίνην αὐτοῦ ἐπαρθῆναι καὶ τεθῆναι εἰς ἕνα τόπον ὑψηλόν, ὥστε πᾶσαν τὴν δύναμιν τῶν στρατευμάτων πορευομένους ὁρᾶν αὐτὸν εἰς ἁγιασμόν. τούτου δὲ γενομένου

(I) ταῦτα Μακ. ἅμα (ὡς C) ἤκουσαν RC : οἱ δὲ Μακ. ἀκούσαντες D / ἤκουσαν καὶ τοῦ Q (2) ἐξανέστησαν RD : ἐξανίσταντο CQ / ἐκ πολλοῦ.... ἐποίουν καί R (C) : ἀναλαβόμενοι γοερὸν ἀνεκώκυον καὶ σὺν οἰμωγαῖς ἐβόων καὶ δάκρυσιν D : ἐκ πολὺ (sic) πόνων ψυχῶν ἐλ. ᾦδον καί Q / ψυχῶν RQ : om. C (3) ὢ οἷόν τι RC : ὢ οἷον D : οὐαί, τί Q / ἔλεγον, καί RCQ : om. D (4) καταβαλεῖν RD : καταλαβεῖν C (5) δὲ καί RC : om. D / ἡμῶν DC : ὑμῶν R (6) ταύτη RC : αὕτη D (7) ταῦτα πρᾶξαι κατατολμ. D (8) παραχρ. ἀν. οὐκ RC : οὐκ ἀν. εὐθύς D (9) συνῇ RDC : συνεῖ Q / λοιπὸν.....καὶ μέλος C : λοιπὸν Μακεδόνες λαβὸν τὸ θρῆνον μέλος R : καθ' ὅλην γοῦν τὴν νύκτα ἐκείνην θρῆνος καὶ μέλος D : λοιπὸν ἄφνω Μακεδόνας ἔλαβε θρῆνος, μέλος Q / καὶ ἐν.....ἐτελέσθη RC (sim.Q) : παρὰ Μακεδόσιν ἐτύγχανε (sic) D (I2) τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ C / ἐκέλευσε τοιγαροῦν D (I3) Περδ. καὶ Πτ.CBLA / εἰσελθεῖν CBLA (I4) ἄλλος.....αὐτοῖς R : ὅπως ἄλλος ...αὐτοῖς C : ἄλλον δέ τινα συνεισελθεῖν αὐτοῖς D (I5) δ'D : δὲ CBLA : om. R (I6) ἐπί RCBL : εἰς D (I7) αὐτοῦ RCBL : 'Αλεξάνδρου D / εἰ μὴ... βασ. RCBLA : εἰ μὴ τοῦτον αὐτοῖς δείξωσιν ἐμφανῆ D (I9) θορύβου, τίς ἂν ἦν C / ὁ 'Αντ. C / ἐδιδ. αὐτῷ τὰ λεγόμενα C / καὶ ἐδιδ. ...Μακ. RB : καὶ τὸ ὑπὸ τῶν Μακ. λεγόμενον ἐξεῖπε D (20) προσέταξεν δὲ 'Αλ. RCBL : ὃς αὐτίκα προσέταξε D (22) ὥστε π.τ.δ. τῶν στρατ. πορευομένους ὁρ. αὐτ. εἰς ἁγιασμόν R : ὥστε π.τ.δ.τῶν στρατ. αὐτοῦ πορευομένην ὁρ. αὐτ. εἰς ἁγιασμόν C : ὥστε π.τ.δ. τῶν στρατ. παραπορευομένους ὁρ. αὐτ. εἰς ἁγιασμὸν καὶ δι'ἑτέρας θύρας ἐξάγειν BL (quod Meusel et Bergson sicut Mueller ex A emendant ὥστε π.τ.δ. τῶν στρατ. παραπορευομένους ὁρ. αὐτ., εἰσάγειν δὲ μόνους < Μακεδόνας > καὶ δι' ἑτέρας θύρας ἐξάγειν) : ἵνα πᾶσιν κατάδηλος γίνηται καὶ αὐτὸς πᾶσαν τὴν δυν. τῶν στρατ. ὁρᾷ εἰς οἰκείαν ἀναψυχήν D (23) τούτου δὲ γενομένου RD : ποιήσαντος οὖν τοῦ 'Αντιόχου τὰ προσταχθέντα αὐτῷ ὑπὸ 'Αλεξάνδρου τοῦ βασιλέως C (sim.BLA)

εἰσεπορεύοντο οἱ Μακεδόνες μόνοι καὶ ἐθεώρουν αὐτόν. καὶ οὐκ ἦν, ὃς οὐκ ἐδάκρυεν τὸν τηλικοῦτον βασιλέα 'Αλέξανδρον κατακείμενον βλέπων ἡμιθανῆ.

ἀνὴρ δέ τις ἐξ αὐτῶν τὰ μὲν εἴδη οὐκ ἀπρεπής, ἰδιώτης δέ, ἐλθὼν πλησίον τῆς κλίνης 'Αλεξάνδρου εἶπεν· „ ἐπ' ἀγαθῷ μέν, 'Αλέξανδρε βασιλεῦ, Φίλιππος ὁ πατήρ σου ἦρξεν, ἐπ' ἀγαθῷ τε καὶ σύ, βασιλεῦ. σὺ μὲν προλαμβάνεις ἡμᾶς. καλὸν μὲν οὖν ἡμᾶς σὺν σοὶ ἀποθανεῖν τῷ ποιήσαντι Μακεδονίαν πόλιν ἐλευθέραν. " τοῦ δὲ 'Αλεξάνδρου δακρύσαντος ἅπαν τὸ πλῆθος θρήνου καὶ οὐαὶ ἐπεπλήρωτο. ὁ δὲ Βουκέφαλος ἵππος μέσον πάντων δρομαῖος εἰσῆλθε καὶ πλησίον 'Αλεξάνδρου ἐπιστὰς ἤρξατο τοῖς δάκρυσιν καταλούειν τὴν κλίνην. κοπετὸς δὲ γέγονεν μέγας Περσῶν ὁμοῦ καὶ Μακεδόνων ἐπὶ τῇ τοῦ ἵππου δακρυρροίᾳ.

33

γνοὺς δὲ 'Αλέξανδρος ἑαυτὸν ἤδη τελευτᾶν ἔδοξεν ἐπιστολὴν γράψαι τῇ μητρὶ αὐτοῦ. τὰ δὲ τῇ ἐπιστολῇ ἐμφερόμενά εἰσιν τάδε· „'Αλέξανδρος ὅ ποτε ὢν βασιλεύς, ὃς πᾶσαν περιενόστησεν γαῖαν, πλείστας τε χώρας καὶ πόλεις τῷ

(I) καὶ οὐκ ἦν RCBL : οὐκ ἦν δέ D (2) τόν DC : om. RBL (3) βλέπων D : om. R : ἐν κλίνῃ C (4) ἀνὴρ δέ τις RCBL : τέως ἀνήρ τις D / ἐξ αὐτῶν τὰ μὲν εἴδη R : om. D : ἐξ αὐτῶν τῷ μὲν εἴδει CBLA (5) εἶπεν RBL : ἔφη D : ὡς φρονήσει κεκοσμημένος εἶπεν C (6) ἐπ' ἀγαθῷ τε RBL : ἐπ' ἀγαθωτέρῳ δέ D : ἐπ' ἀγαθῷ δέ CA (7) σὺ...ἡμᾶς RCBL : om. D / προλαμβ. RBL : προσλαμβ. C (8) καλὸν μὲν (om.CBL) οὖν ἡμᾶς RCBL : καλ. οὖν ἡμῖν ἐστιν D / Μακ. πόλιν ἐλευθέραν RBL : Μακ. ἐλεύθερον D : πᾶσαν Μακ. καὶ πόλιν αὐτῆς ἐλευθέραν C (9) τοῦ δὲ 'Αλ. δακρύσαντος......θρήνου....ἐπεπλήρωτο D : ὁ δὲ 'Αλ. δακρύσας,........θρήνους...ἐπεπλήρωντο R : ὁ δὲ 'Αλ. δακρύσας........,θρῆνος....ἐπεπλήρωτο καὶ ἐξέτεινε τὴν δεξιὰν αὐτοῦ χεῖρα ἔμφασιν ποιούμενος παρακλήσεως C : ὁ δὲ 'Αλ. δακρύσας ἐξέτεινεν τὴν δεξιάν κτλ. BL (sim.ut C) (IO) post ἐπεπλήρωτο καὶ ἐξέτεινε... παρακλήσεως add. C ex (β) καὶ κελεύσας εἰσελθεῖν ὑπομνηματογράφον εἶπε περὶ 'Ρωξάνης τῆς γυναικὸς αὐτοῦ, ὅτι„ἐὰν γένηταί μοι ἐκ 'Ρωξάνης τῆς γυναικός μου παιδίον ἀρρενικόν, ἐκεῖνος βασιλευέτω Μακεδόνων, ἐὰν δὲ θῆλυ γένηται ἐξ αὐτῆς, ἐλέσθωσαν ὃν ἂν βούλωνται βασιλέα." καὶ ταῦτα εἰπόντος τοῦ 'Αλεξάνδρου ὁ δὲ Βουκέφαλος κτλ. (II) πλησίον 'Αλ. ἐπιστάς RC : πλησίον στὰς 'Αλ. D : τῇ κλίνῃ ἐπιστάς Q (I3) γέγονεν RDQ : ἐγένετο C / Περσῶν ...Μακ. RCQ : Περσαῖς...Μακεδόσιν D (I4) ἐπὶ δὲ τῇ δακρυρροίᾳ τοῦ ἵππου κοπετὸς γέγονεν κτλ. D (I5) ὁ 'Αλ. C / γνοὺς....τελευτᾶν....αὐτοῦ....τάδε R : τότε τὴν αὐτοῦ τελευτὴν γνοὺς ὁ 'Αλέξανδρος ἐπιστέλλει τῇ μητρὶ αὐτοῦ ἐπιστολὴν περιέχουσαν οὕτως D : γνοὺς ....τελευτᾶν......αὐτοῦ εἰς ἐπανάληψιν τῶν ἄλλων αὐτοῦ ἐπιστολῶν οὕτως C : καὶ γνοὺς....μέλλοντα τελευτᾶ<ν> Q (I6) τῇ μητρὶ ἀποστεῖλαι τὰ περὶ ἑαυτὸν ἔδοξε, τὰ δὲ τῇ ἐπ. ἐμφ. τάδε ἦν Q (I8) πλείστας τε RD : καὶ πλείστας C / τῷ δ. ἐνήλατο C : τὸ δόρυ ἀνήλατο R : τῷ οἰκείῳ ἐπόρθησε δόρατι D

δόρατι ἐνήλατο· ἀπὸ γὰρ δυσμῶν ἐπὶ ἀνατολὰς ἐπειγόμενος, οὐκ ἦν τῇ τύχῃ αὐτοῦ ὁ ἀνθιστάμενος ἐν τῇ ὑφ' ἡλίῳ οἰκουμένῃ· ἔπειτα τὴν ἀοίκητον ἐπιβὰς πολλοὺς ὑπέστη κινδύνους, χώρας ἀγρίων ἀνθρώπων διερχόμενος. διῆλθον δὲ μακάρων νήσους καὶ τὴν σκοτεινοτάτην γαῖαν διεπορεύθην, ὡσεὶ πορείας ἡμερῶν πολλῶν· καὶ μέχρι θείας τινος ὀπτασίας οὐ παρεκελεύσθην ὑποστραφῆναι, ἀλλ' ὁδεύειν τοῖς ἔμπροσθεν καὶ θεωρεῖν ἐξαίσια πράγματα.

ἀνθυποστραφεὶς δὲ Πῶρον ἀπέκτεινα τὸν τῶν Ἰνδῶν βασιλέα. εἶθ' οὕτως μέχρι τῆς ἐσχάτου διώδευσα θαλάσσης, ἔνθα ἡλίου ὀνομάζεται χώρα.

ἐκεῖθεν δὲ διελθόντες μετ' Εὐρυμίθρους ἐπολεμήσαμεν. καὶ τοῦτον ἡττήσαντες κατεδίωξα ὄπισθεν αὐτῶν καὶ ἐξήγαγον αὐτοὺς ἐκ τῆς ἰδίας γῆς καὶ κατέκλεισα αὐτοὺς ἐν τῷ μὴ τέλος ἔχοντι πεδίῳ τοῦ Βορρᾶ. ἐπεκαλεσάμην δ'

(I) ἀπὸ....ἀνατολάς (ἀνατολῶν C) RC : ἤδη τάφῳ ἐγκλεισθῆναι συνέχεται· πλὴν [ἴ]σθι, ὡς ὅτε ἀπὸ δυσμῶν ἐπορευόμην ἐπὶ ἀνατολάς D / ἐπιγόμενος R : ἀγόμενος C : om. D (2) οὐκ...οἰκουμένῃ RC : οὐχ εὑρέθη ἐν τῇ ὑφ' ἥλιον κτίσει ὁ ἀνθιστάμενός μοι D / αὐτοῦ Mueller : αὐτόν RC / ἀνθιστάμενος dedi (cf.D) : ἀντισταθῆναι R : ἀντισταθῆναι βουλόμενος C : de D vide supra (3) ἔπειτα RC : ἀλλὰ καί D / ἐπιβάς C : ἐπιβῶν R : γῆν καταλαβὼν D / ὑπέστην D qui iam ex ἐπορεύμην (nota I) prima persona utitur (4) διῆλθον.....νήσους R : εἶδον δὲ καὶ τὰς νήσους τῶν μακάρων D : διῆλθον.....χώρας, ὡς δι' ἄλλης μου ἐπιστολῆς δηλώσας C (5) διεπορεύθην RC : διῆλθον D (6) πορείαν D / πολλῶν RD : τινων C (7) παρεκελεύσθη R / ἀλλ'....πράγματα C : om. RD (9) ἀνθυπ. δέ D : ἀνθυποστραφέντος μου δέ R : de codice C vide infra p.445,n.9-IO (9-IO) ἀνθυπ. ...μέχρι D (R) : ἀνθυποστρέψας δὲ ἐκ τούτων καὶ τὴν οἰκουμένην καταλαβὼν τὰ περὶ Πώρου ἠρξάμην δουλώσασθαι, ὡς προεδήλωσα, ὦ μῆτέρ μου, ἐν τῇ πρώην ἐπιστολῇ. πλὴν ἀλλὰ καὶ τοῦτον, κἂν ὁπόση δύναμις, ἀπέκτεινα τὸν τῶν 'Ινδῶν βασιλέα. ἐκεῖσε οὖν διελθὼν μέχρι C (IO) εἶθ' οὕτως μέχρι D : καὶ μέχρι R (II) ἐπονομάζεται C (I2) ἐκεῖθεν δέ D : ἐκεῖσε οὖν R / C abhinc alia tradit, quae infra p. 446,I2 referimus/μετὰ βριμύθους R (I3) κατεδ. ὅπ. αὐτῶν R : ὅπ. αὐτοῦ κατεδιώξαμεν D melius / καὶ ἐξήγ. .... κατέκλεισα R : καὶ ἔξω τῆς ἰδίας ἠγάγομεν γῆς καὶ κατεκλείσαμεν D (I5) πεδίῳ D : παιδῆαν R (I5 ss.) τοῦ Βορρᾶ (p. 444,I5)..... ἀθετήσῃς (p. 446,II) edidi solum ex D, quia in R post παιδῆαν unum totum folium (i.e.duae paginae) deest; textus codicis R p.448 ,24 post illam lacunam pergit.... καὶ παντὶ τῷ πλούτῳ.

αὐτὸς κύριον τὸν θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς συνελθεῖν μοι εἰς βοήθειαν, ὃς οὐ παρεῖδέ μου τὴν δέησιν, ἀλλ' αὐτίκα συνήγαγε δύο μαζοὺς τοῦ Βορρᾶ καὶ ἀπέκλεισε τὴν ἄνοδον τούτων. ἔνθα καὶ αὐτὸς πύλας ἔπηξα μετὰ ἀσικήτου. καὶ βάτον ἐφύτευσα, ὃν οὐ δυνήσονται ὑπερβῆναι μέχρις ὅτε πληθυσθείη ἡ ἁμαρτία ἐπὶ τῆς γῆς, τότε ἂν ἐξάξει αὐτοὺς ὁ θεὸς εἰς ἐξολόθρευσιν πάντων τῶν ζώντων.[ ] ἐκείνου μητρός· δ⌊έδωκεν δὲ καὶ 'Ρωξάνην τὴν ἑαυτ⌋οῦ γυναῖκα, εἰπὼν ταύτην ⌊ἀποκομίζαι πρὸ⌋ς 'Ολυμπιάδα σὺν τῇ μητρὶ αὐτῆς ⌊καὶ παντὶ τῷ πλού⌋τῳ αὐτῶν· καὶ τῆς ἀγάπης ἀμφοτέρων τὸν ὅρον μὴ ἀθετήσῃς.

alia e codice C

ἐκεῖθεν δὲ πάλιν ἀνθυποστρέψας, ὡς γέγραφά σοι ἐν τῇ δευτέρᾳ μου ἐπιστολῇ, τὴν παράλιον διώδευσα ὁδόν. ἐν τούτῳ κατασκοπεῦσαι τὸν τόπον 'Αμαστρίδος τῆς πόλεως ἠθέλησα. καὶ ἐπεγνώσθην παρὰ τῆς βασιλίσσης Κανδάκης, ἥτις ἵλεώς μοι ἐγένετο καὶ ὡς μήτηρ μου ἀνεδείχθη. καὶ οὐκ ἀπέδωκέ μοι κακὰ ἡ ὄντως καλὴ ἕνεκεν ἑνὸς μικροῦ ἀγαθοῦ, ὃ ἐποίησα εἰς Κανδαύλην τὸν υἱὸν αὐτῆς, ὅτι ἐρρυσάμην αὐτὸν σὺν γυναικὶ καὶ πλούτῳ καὶ στρατῷ ἐκ χειρὸς Εὐαγρίδου τοῦ τυράννου τῶν Βεβρύκων. καὶ ἡ πολέμιος γυνὴ τὸ ἐν ἐμοὶ ᾤκτειρε νέον.

οἱ δὲ σὺν ἐμοί, τῶν ἐμῶν ἀπολαβόντες ἀγαθῶν, πικρῷ καὶ ἀνελεεῖ με παραπέμπουσι θανάτῳ, μὴ οἰκτειρίσαντές με τὸ σύνολον, μῆτερ ἐμή. καὶ ἐπὰν τῷ νεύματι τῆς ἄνω προνοίας τὸν σύμπαντα κατεκυρίευσα κόσμον, τανῦν οὐ συγκεχώρημαι παρὰ τῶν ἐμῶν τὴν ἐμὴν καταλαβέσθαι πατρίδα, καὶ σέ,

(7) post ζώντων add. D in ultima pagina finem quinque lineas continentem, quae vix legi, ex C et R autem plerumque compleri possunt (cf.C p.448,20 et R p.448,24 et notam). lacuna circiter XX litterarum idem spatium explet ac ille textus ⌞καὶ Ῥωξάνην τὴν ἑαυτ⌟ (II).... ἀθετήσῃς finis codicis D ; sed fortasse paginae quaedam perierunt (I2) ἐκεῖθεν κτλ.: haec cod. C praebet post .... ἐπονομάζεται χώρα (supra p.444,II)/ ἐκεῖθεν (p.446,I2).... θεωρήσεις (p.448,4) similiter Q (26) καὶ σέ C : καὶ ὅπως σέ coni. Mueller : possis etiam ὅπως καὶ σέ

- e codice C -

ὦ μῆτέρ μου, θεασάμενος τὸ λοιπὸν τῆς ζωῆς μου διατελέσωμεν ἄμφω. λοιπόν, μῆτερ ἐμή, γνῶθι τοῦ λοιποῦ ἄτεκνον εἶναί σε. οὐκέτι γάρ με θεωρήσεις οὔτε τῆς φωνῆς μου ἀκούσεις, ἀλλ' οὐδ' ἐπιστολὴν ἑτέραν παρὰ 'Αλεξάνδρου δέξῃ. τὸ γὰρ ἀποδημεῖν με ἐφικτὸν ἦν, ἐν δὲ τῇ νῦν ἀποδημίᾳ δυσχεραίνω, ὦ φίλη μοι μῆτερ· πρὸς γὰρ χρονιωτάτην καὶ ἀνήλιον καὶ ἀνυπόστροφον στρατείαν ἀπέρχομαι καθὼς πᾶσιν ἀσυγχώρητος. λοιπὸν δὲ ἔχε, ὦ μῆτέρ μου, τήνδε τὴν ἐπιστολὴν ἀντὶ ἐμοῦ καὶ ἀνάγνωθι εἰς τὸ ἐπίλοιπον τῆς ζωῆς σου καὶ θρήνοις μνημόνευε στέρησιν τέκνου." εἶθ' οὕτως διανέμει τὴν ἀρχὴν ὁ 'Αλέξανδρος τοῖς ἑαυτοῦ ἄρχουσι, ἤγουν Σελεύκῳ, Πτολεμαίῳ τῷ Φιλίππῳ, 'Αντιόχῳ, Φίλωνι τῷ Βύζᾳ· Σέλευκον μὲν Πέρσαις καὶ 'Ινδοῖς βασιλεύειν, Φίλιππον δὲ τὸν καὶ Πτολεμαῖον Αἴγυπτον ἄρχειν, 'Αντίοχον δὲ τὴν μέσην γαῖαν τῶν 'Ασσυρίων, Φίλωνα δὲ τὸν καὶ Βύζαντα τὴν Μακεδονικὴν διέπειν ἀρχήν, τὰ περὶ 'Ολυμπιάδος πλεῖστα παραινέσας αὐτῷ. κατασφαλισάμενος αὐτὸν ὅρκοις εἰς ἅπαν αὐτῆς συμφέρον, καὶ θελήσειν καὶ ἐπιμελῶς αὐτὴν διακεῖσθαι ὡς υἱὸν αὐτῆς. δέδωκε δὲ καὶ 'Ρωξάνην τὴν ἑαυτοῦ γυναῖκα εἰπὼν αὐτῷ πρὸς 'Ολυμπιάδα τὴν ἑαυτοῦ μητέρα ταύτην ἀποκομίσαι σὺν τῇ μητρὶ αὐτῆς καὶ παντὶ τῷ πλούτῳ αὐτῶν.

- denuo e codice R -

.... καὶ παντὶ τῷ πλούτῳ αὐτῶν, ἐπορκισάμενος αὐτῷ τῆς τῶν ἀμφοτέρων ἀγάπης ὅρον, μὴ ἀθετῆσαι τὰ διατεταγμένα.

(I5) Αἴγ. C : Αἰγύπτου em.Mueller (I9) θέλησιν C / καὶ ἐπ. αὐτήν C : ἐπιμελῶς αὐτόν em. Mueller : possis καὶ ἐπ. αὐτῆς (23) καὶ παντί κτλ. C : item pergit R duabus paginis antea amissis (24-25) αὐτῶν, ἐπορκ. (sic).....διατεταγμένα. ὡς δέ R : αὐτῶν. ἐπορκισάμενος οὖν αὐτὸν ἕνεκε (sic) τῆς πρὸς αὐτῶν (αὐτόν dedit Mueller) ἀγάπης μὴ ἀθετῆσαι τὰ διατεταγμένα, ὡς δέ C (cf. finem codicis D p. 446,II)

ὡς δὲ ἐτέλεσεν τοῦ λέγειν προσκαλεσάμενος ἅμα τὸ Μακεδονικὸν στράτευμα, ἑνὶ ἑκάστῳ μετὰ δακρύων περιπλεκόμενος κατησπάζετο.

ὡς δὲ πάντας ἐτέλεσεν ἀσπαζόμενος, ὁ Πολυκράτους εἰσέρχεται παῖς καὶ λίαν ἀλκιμώτατος καὶ πᾶσιν εὐδοκιμήσας τοῖς πολεμίοις καὶ τῷ Ἀλεξάνδρῳ ποθητὸς τυγχάνων. καὶ περιπλακεὶς τῷ Ἀλεξάνδρῳ οὐκ ἠβούλετο ἐξ αὐτοῦ διελθεῖν δεινῶς ὀλοφυρόμενος καὶ ᾀσμάτων θρῆνον ποιούμενος. ἐδόκει καὶ ἡ γῆ συν αὐτῷ πενθεῖν. μάλιστα δὲ τοῦ παιδὸς πρὸς τὸν Βουκέφαλον ἵππον ἀντιστραφέντος καὶ γοερῶς ἐπιφθεγξαμένου ὡς „ καὶ σὺ δυστυχής, δοκέω, εἶναι, ἄλλον ὡς ἀπώλεσας Πήγασος Βελεροφόντα· κρείσσων γὰρ γέγονας Πηγάσου ἐν τοῖς ἵπποις, καὶ κρείσσων Ἀλέξανδρος Βελεροφόντος. οἴμοι, τίνα δέξῃ τὸν ἀναβάτην; ποίοις ὀφθαλμοῖς τις ἐμβλέψαι δυνηθείη Βουκέφαλον ἔχοντα ἄλλον ἱππέα; " ταῦτα δὲ Χαρμίδης μετ' ὀδυρμῶν ἔλεγεν· καὶ ὁ ὄχλος ἐκόπτετο σφόδρα· καὶ ὁ Ἀλέξανδρος τὸν παῖδα ἀπολῦσαι οὐκ ἤθελεν, ἀλλ' ἦν. αὐτοῦ ἐπικείμενος τῷ τραχήλῳ. ὁ δὲ Ἀλέξανδρος μέλλων ἐκπνέειν τόνδε τὸν λόγον ἔφη·

„ ὃς τὴν ἅπασαν οἰκουμένην διῆλθον
ἀοίκητόν τε καὶ σκοτεινώδη γαῖαν,
φυγεῖν οὐκ ἐξίσχυσα τὴν εἱμαρμένην·
κύλιξ δὲ μικρὰ τῷ θανάτῳ προδίδοι
νέκυσι προπέμπουσα φαρμάκου μίξει.
βλέπων δὲ στρατὸς θανεῖν βιαζόμενον
βοηθῆσαι θέλοντες ἀδυνατοῦσιν.
λοιπὸν ἐν Ἅιδει κείσομαι τεθαμμένος. "

(4) Πολυκράτου R (5) παῖς, ὃς ἦν εὐδοκιμώτατος, καὶ λίαν C / πᾶσιν ... πολεμίοις R : πολλὰ εὐδοκιμήσας ἐν τοῖς πολέμοις C (8) ποιούμενος.......πενθεῖν R : ποιούμενος· καὶ ὄντως μέλος πένθους γλυκύτατον ἦρξατο καὶ τὰς καρδίας πάντων δακρύων ἐπλήρωσεν, ὡς ἐδόκει σὺν αὐτῷ καὶ ἡ γῆ πενθεῖν C (IO) ἵππον C : om. R (II) σύ CQ : σοι R / δοκέω.... Βελερόφοντα (sic) R : ὧν ὡς Πήγασος Βελεροφόντην ἀπολέσας ἄλλον C (II-I3) ὡς „ καὶ .... Βελεροφόντος R : ἵππε καὶ σὺ κρείττων γὰρ γεγονὼς Πωγάσου (sic) ἐν τοῖς ἵπποις καὶ κρείσσων 'Αλ. 'Εβλεροφόντου Q qui hic rursus incipit (I2) κρείσσων γὰρ.... Βελεροφόντος R : ἀλλὰ κρείσσων 'Αλέξανδρος Βελεροφόντου C (I4) τίνα δ. τὸν αναβ. dedi : τεῖνον δεξιᾶς ἐστι τὸν ἀναβάτην R : τίνα δέξῃ ἀντ-αναβάτην Q : om. C / ποίοις....δυνηθείη C : ποῖος ὦμος (sic, fort. ὠμὸς) ἐκείνῳ ἐμβλέψαι δυνηθῇ R : ποῖος ὁ ὀφθαλμὸς ἐκεῖνος, ὃς βλέψει τάδε Q (I5) ἄλλον ἱππέα ἔχοντα καὶ ἀναβάτην C (I6) σφόδρα C : om. RQ (I8) ὁ δὲ ... ἐκπνέειν R : καὶ μέλλων ἐκπν. ὁ 'Αλ. C (I9) post ἔφη hanc inscriptionem ponit C : Στίχοι, οὓς εἶπε 'Αλέξανδρος, ὅτε ἐξέπνει· (20-27) versibus trad. C, scriptione continua RQ (2I) σκοτεινώδη C : σκοτεινήν R : σκοτειναίαν Q (22) φυγ.δ.οὐκ Q / ἐξίσχυσα C : ἴσχυσα RQ (24) νέκυσι Mueller : νεκάσι C : νεκάσοι R : ἕνεκά σου Q / προπέμπουσα C : προπεμάσπουσα R : προπέμψασα Q (27) κείσομαι RC : θήσομαι Q

καὶ ταῦτα εἰπὼν παρεκάλεσεν πάντας ἐν τῇ κατ' Αἴγυπτον ταφῆναι Ἀλεξανδρείᾳ καὶ ὑπὸ πάντων τῷ τάφῳ παραπεμφθῆναι, μετὰ δὲ τὸ ταφῆναι αὐτὸν ἕκαστος τῇ ἀφορισθείσῃ αὐτῷ ἀπελθεῖν βασιλείᾳ. παρακαλέσας πάντας καὶ ἐπορκισάμενος μηδένα τῶν διατεταγμένων ἀθετῆσαι, ὅς τοῖς Μακεδόσιν ἦν περισκοπῶν καὶ πονῶν τὴν ψυχὴν περὶ αὐτῶν, ἐπὶ Χαρμίδους οὖν ἐπικείμενος τῷ τραχήλῳ. τοῦ Βουκεφάλου πρὸς τοῖς ποσὶν αὐτοῦ ἱσταμένου ἐφαπλοῖ τὴν χεῖρα Ἀλέξανδρος καί φησιν· „ ὡς καὶ σὺ τῇ ἐμῇ τύχῃ ἦσθα γεγενημένος, ἵνα δι' ἐμοῦ καὶ σὺ δυστυχήσῃς· ἐν γὰρ τοῖς πολέμοις εἶχόν σε συναγωνιζόμενον. τανῦν δὲ ἐν τῷδε μοι τῷ θανατηφόρῳ οὐ συναγωνίζῃ πολέμῳ. δοκεῖ δέ μοι, ὥστε θέλων βοηθῆσαι οὐ δύνασαι. "

ταῦτα τοῦ Ἀλεξάνδρου πρὸς τὸν Βουκέφαλον σὺν δάκρυσιν λεγόντος ὁ σύμπας ἀνῴμωξεν στρατός, ὥστε μεγίστη γέγονε βοή. ὁ δὲ τὸ φάρμακον σκευάσας δόλιος δοῦλος καὶ ὁ τὴν τῶν πάντων ἐπιβουλευσάμενος ζωὴν δόξας Ἀλέξανδρον τελευτῆσαι δρομαίως ἐπέρχεται θεασάμενος. Βουκέφαλος δὲ τοῦτον ἰδών, τὸ κατηφὲς καὶ στυγνὸν εὐθὺς ἀπορριψάμενος ὥσπερ τις τῶν λογικῶν τε καὶ γνωστικωτάτων ἀνθρώπων – οἶμαι δὲ καὶ παρὰ τῆς ἄνω προνοίας – τὴν τοῦ δεσπότου ἐκδίκησιν ἐποιήσατο. καὶ μέσον πάντων ἐπιδραμὼν καὶ τὸν δοῦλον ἐκεῖνον δραξάμενος τοῖς ὀδοῦσι καὶ ἄντικρυς Ἀλεξάνδρου τοῦτον ἀγαγὼν καὶ ἐκτινάσσων ἐπὶ τούτῳ φοβερῶς ὠρύετο, ὡς ἐκδικῶν τὸν κύριον αὐτοῦ. καὶ οὕτως ποιῶν μεταρσίῳ δὲ πηδήματι εἰς ὕψος ἀρθεὶς παραχρῆμα δὲ σὺν τῷ δολίῳ δούλῳ ἐκείνῳ καὶ δυσπίστῳ προσρήξας τῇ γῇ. παρευθὺς ὁ μὲν δόλιος διεσκορπίσθη· ὡς ἄν τις εἴπῃ χιὼν νότιος

(3) μετὰ δέ R : εἶτα μετά C / ἐν τῇ ἀφ. C (4) πάντας R : οὖν ἅπαντας C (5) ὅς R : ὡς C (7) τῷ τραχήλῳ R : ἦν τῷ τραχήλῳ αὐτοῦ κλαίων καὶ ὀδυρόμενος C / τοῦ δέ C / Βουκεφάλου ἵππου C (I2) ὥστε R : ὡς CQ (I6) καὶ ὁ τήν R : καὶ τήν C (I7) δόξας Ἀλ. τελευτῆσαι R : ἔδοξεν ἐν τῇ βοῇ Ἀλ. τελευτῆσαι καὶ C (I8) θεασάμενος R : θεάσασθαι C / Βουκ. .... ἰδών R : θεασάμενος δὲ τοῦτον ὁ Βουκ. C (2I) ἐκδίκησιν CQ : ἐκδιοίκησιν R (23) τοῖς ὀδοῦσι C : om. RQ (24) καὶ ἐκτινάσσων.... ποιῶν C : om. RQ (26) δόλιῳ.... δυσπίστῳ C : δούλῳ R (27) προσρρήξας R : προσῤῥίξας C / παρευθύς C : om. R (28) νότιος ἀφ' C : νότιον ἀπό R

ἀφ' ὑψηλοῦ καταπεσοῦσα στέγους, οὕτως ἐγένετο ἐνώπιον πάντων. ὁ δὲ ἵππος ἐγερθεὶς καὶ χρεμετίσας μικρὸν ἔμπροσθεν Ἀλεξάνδρου καὶ πεσὼν εὐθέως ἐξέψυξεν τὴν πνοὴν ἐπαφήσας, ὥστε τὸν Ἀλέξανδρον ἐπὶ τούτῳ μειδιᾶσαι.

καὶ σὺν τῷ μειδιάσματι ἐγένετο περὶ τὸν ἀέρα ὁμίχλη, καὶ ἐφάνη μέγας ἀστὴρ κατερχόμενος ἀπὸ τοῦ οὐρανοῦ ἐπὶ τὴν θάλασσαν καὶ σὺν αὐτῷ ἀετός· καὶ τὸ ἄγαλμα τοῦ ἐκ Βαβυλῶνος Διὸς ἐκινήθη. ὁ δὲ ἀστὴρ πάλιν ἀνῆλθεν εἰς τὸν οὐρανόν, ἠκολούθησε δὲ αὐτῷ καὶ ὁ ἀετός. κρυβέντος δὲ τοῦ ἀστέρος εἰς τὸν οὐρανὸν εὐθέως ἐκοιμήθη Ἀλέξανδρος τὸν αἰώνιον ὕπνον.

ἔκλαυσαν οὖν αὐτόν, ὡς ἔθος ἦν, ἥ τε Ῥωξάνη ἡ γυνὴ αὐτοῦ σὺν τῇ μητρὶ αὐτῆς καὶ οἱ φίλοι αὐτοῦ ὅ τε Πτολεμαῖος καὶ Σέλευκος Ἀντίοχός τε καὶ Φίλων καὶ Χαρμίδης ὁ ἠγαπημένος αὐτῷ σὺν παντὶ τῷ Μακεδονικῷ καὶ Περσικῷ στρατῷ.

34

μετὰ δὲ τοῦ κλαυθμοῦ οἱ Πέρσαι μάχονται μετὰ τῶν Μακεδόνων βουλόμενοι τὸν Ἀλέξανδρον ἐν Περσίδι τῇ χώρᾳ αὐτῶν μετακομίσασθαι καὶ Μίθραν ἀναγορεῦσαι. οἱ δὲ Μακεδόνες ἀντεποιοῦντο βουλόμενοι ἀναλαβεῖν αὐτὸν εἰς Μακεδονίαν. λέγει οὖν αὐτοῖς Φίλιππος ὁ Πτολεμαῖος· „ ἔστιν μαντεῖον τοῦ Βαβυλωνίου Διός. παρ' αὐτῷ οὖν ληψόμεθα χρησμὸν τοῦ σώματος Ἀλεξάνδρου, ποῦ ἂν καταστήσωμεν αὐτό. " ἐχρημάτισεν δὲ αὐτοῖς ὁ τοῦ Διὸς χρησμὸς οὕτως· „ ἐγὼ φράσω τὰ συμφέροντα πᾶσιν. ἔστι πόλις ἐν Αἰγύπτῳ τοὔνομα Μέμφη· κἀκεῖ ἐνθρονίζειν τοῦτον. "

(I) οὕτως..... πάντων C : om. R (2-4) ἔμπροσθεν .... ἐπαφήσας C : εὐθέως πεσὼν ἐξέψυξεν R (4) τόν C : om. R / ἐπὶ τούτῳ R : ἐπὶ τοῦτο C (5) ἐγένετο **abhinc similia ut in rec.** β (7) καὶ τό RBLA : τὸ δέ C (8) τοῦ ἐκ Βαβ. Διός C : τοῦ Διός R (9-IO) ἠκολούθησε .... εὐθέως CB : καὶ εὐθέως R (I2-I5) ἔκλαυσαν.... στρατῷ C : **om.** RBLA (I6) μετὰ δὲ τοῦ (**sic**) κλ. C : **om.** RBLA / μάχονται RBL : ἐμάχοντο CA (I7) ἐν Περ. τῇ χ. αὐτῶν C : **om.** RBL : εἰς τὸν Περ. A (I8) μετακομ. R : ἀνακομ. CBLA / Μίθραν RBL : ἡμίθεον (**nota scribam Christianum!**) C : ὡς θεὸν Μίθραν A (20) αὐτοῖς CBLA : **om.** R / ἔστιν ὧδε C (22) καταστήσωμεν BL : καταστήσομεν RC (23) ἐγὼ ὑμῖν φράσω C (25) τοῦτον χρεὼν C

τοῦ δὲ χρησμοῦ δοθέντος οὐδεὶς οὐκέτι ἐλάλησε· λαβόντες δὲ πάντες ὁμοῦ, ὥστε τῶν Περσῶν καὶ Μακεδόνων ἔξαρχοι τὸ τοῦ Ἀλεξάνδρου σῶμα ἤγαγον ἐν τῇ κατ' Αἴγυπτον Ἀλεξανδρείᾳ ἐν μολυβδίνῃ λάρνακι ἐσμυρισμένον. κακεῖσε αὐτὸν θάπτουσιν ἐν τῷ ὑπ' αὐτοῦ οἰκοδομηθέντι ἀστείῳ. ἐκεῖσε δὲ αὐτοῦ στήλην ἐκ λίθων φεγγίτων ἀναστήσαντες ἀφομοιώσαντες αὐτῷ τὸν ἐν τῷ καιρῷ τοῦ θανάτου γέλωτα καὶ Χαρμίδην τῇ χειρὶ ἐπικείμενον, ὥστε τοσοῦτον ἦν αὐτῷ ὁμοίωμα, ὡς ἐκεῖνον αὐτὸν εἶναι Ἀλέξανδρον θρήνου καὶ δέους ἐπίδειξιν ἔχοντα.

οὕτω δὴ Ἀλέξανδρος πολεμῶν καὶ μαχόμενος καὶ ἐπαρθεὶς τῇ δόξῃ καὶ τῇ φρονήσει καὶ τῇ ἀνδρείᾳ ὑπὲρ πᾶσαν γενεὰν βασιλέων, οὐκ ἔφθασε διαπεράνας τὸν βίον καὶ τὸ ἀπρονόητον τοῦ θανάτου, ἀλλὰ τῆς τοιαύτης βασιλείας ὁ παμμέγιστος βασιλεὺς τὸ τῆς δόξης ἐάσας γέρας ἐξῆλθε τὸν βίον.

(I) οὐκέτι RBL : οὔτε τῶν Μακεδόνων οὔτε τῶν Περσῶν C

(I-5) λαβόντες.... ἀστείῳ R (post lacunam inde ab κἀκεῖσε Q) : ἀλλὰ συνεχώρουν τῷ Πτολεμαίῳ ἐν μολυβδίνῃ λάρνακι τὸ στεναρὸν καὶ νουνεχὲς παρὰ Μακεδόσι καὶ τοῖς πολλοῖς φρενῆρες σῶμα 'Αλεξάνδρου εἰς Μέμφην τὴν πόλιν ἐσμυρισμένον ἀγαγεῖν. ὁ δὲ λαβὼν Πτολεμαῖος ἐν ῥάκει ἐσμυρισμένον τέθηκεν ἐν μολυβδίνῃ θήκῃ. καὶ θέμενος ἐπὶ ἅμαξαν τὴν πορείαν ἐποιεῖτο σὺν παντὶ τῷ λαῷ ἀπὸ Βαβυλῶνος εἰς Αἴγυπτον πρὸς τὸ καθιδρῦσαι τὸ σῶμα 'Αλεξάνδρου τοῦ βασιλέως κατὰ τὸν δοθέντα αὐτοῖς χρησμὸν παρὰ τοῦ Βαβυλωνίου Διός, ὅτι ἐν Μέμφῃ αὐτὸν ἐνθρονίζειν. καὶ δὴ φθάσαντος τοῦ <Πτο>λεμαίου μετὰ τοῦ σώματος 'Αλεξάνδρου εἰς τὴν πόλιν, ἐν ᾗ ἔδει αὐτὸν κατατίθεσθαι, ὡς ἤκουσαν οἱ Μεμφῖται, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ σώματος 'Αλεξάνδρου καὶ εἰσήγαγον αὐτὸ ἐν Μέμφῃ. ὁ δὲ ἀρχιπροφήτης τοῦ ἐν Μέμφῃ ἱεροῦ ἔφη αὐτοῖς· „ ὧδε αὐτὸν μὴ καθιδρύσητε, ἀλλ' εἰς ἣν ἔκτισε πόλιν ἐν τῇ 'Ρακώτιδι. ὅπου γὰρ ἂν ᾖ τὸ σῶμα τούτου, ἀκαταστασία τῇ πόλει ἐκείνῃ ἔσται καὶ πόλεμοι καὶ μάχαι ἀλλεπάλληλοι γενήσονται ἐν αὐτῇ. εὐθέως οὖν ὁ Πτολεμαῖος ταῦτα ἀκούσας καὶ λαβὼν αὐτὸ ἐκεῖθεν μετὰ πάντων σὺν τοῖς Περσῶν καὶ Μακεδόνων ἐξάρχοις ἤγαγον ἐν τῇ κατ' Αἴγυπτον 'Αλεξανδρείᾳ. καὶ ποιεῖ τάφον ἐν τῷ ὑπ' αὐτοῦ οἰκοδομηθέντι ἀστείῳ παρὰ τὸ ἱερὸν τὸ καλούμενον Σῶμα 'Αλεξάνδρου· κἀκεῖ τὸ τοῦ 'Αλεξάνδρου λείψανον κατέθηκεν. C amplius : sim. sed multo breviora BLA (5) ὑπ' αὐτοῦ CQ : ὑπ' αὐτῷ R / ἀστείῳ (sic) RC : ἄστει Q

(6) ἐκεῖσε .... στήλην dedi : ἐκεῖσε δὲ αὐτὸν στύλων R : ἐκεῖ οὖν αὐτὸν καὶ στήλην C : στήλην αὐτοῦ Q / ἀναστήσαντες RQ : ὁ Πτολ. κελεύσας ἀναστῆναι C

(7) ἀφομοιώσαντες RQ : ἀφωμοίωσαν C doctius / αὐτῷ RC : αὐτῇ Q / τοῦ θανάτου αὐτοῦ C (8) τῇ χειρί RC : ἐν τῇ χειρὶ αὐτοῦ Q (9) τὸν 'Αλ. C (II-I5) οὕτω .... βίον C : om. RQBL

ἔζησε δὲ ᾽Αλέξανδρος ἔτη τριάκοντα δύο. ἐβίωσε δὲ οὕτως· ἀπὸ εἴκοσι ἐτῶν ἐβασίλευεν. ἐπολέμησε δὲ ἔτη δώδεκα. ἔκτισε πόλεις δώδεκα·

᾽Αλεξάνδρου τὴν κατ᾽ Αἴγυπτον κειμένην,
᾽Αλεξάνδρου τὴν πρὸς ᾽Ορπάς,
᾽Αλεξάνδρου τὴν Κράτιστον,
᾽Αλεξάνδρου τὴν Σκυθίαν,
᾽Αλεξάνδρου τὴν ἐπὶ Κρηπίδος ποταμοῦ,
᾽Αλεξάνδρου τὴν ἐπὶ Τρωάδος,
᾽Αλεξάνδρου τὴν ἐπὶ Βαβυλῶνα,
᾽Αλεξάνδρου τὴν ἐπὶ Περίας,
᾽Αλεξάνδρου τὴν ἐπὶ <Βου>κέφαλον ἵππον,
᾽Αλεξάνδρου τὴν ἐπὶ Πῶρον,
᾽Αλεξάνδρου τὴν ἐπὶ τὸν Τίγριν ποταμόν,
᾽Αλεξάνδρου τὴν ἐπὶ Μεσάγγιστα καλουμένην.

ἐγεννήθη δὲ ὁ ᾽Αλέξανδρος μηνὶ ᾽Ιαννουαρίῳ νεομηνίᾳ ἀνατολῆς οὔσης ἡλίου. ἐτελεύτησε δὲ μηνὶ ᾽Απριλλίῳ νεομηνίᾳ δυσικοῦ ὄντος ἡλίου. καὶ ἐκάλεσαν τὴν ἡμέραν τῆς τελευτῆς αὐτοῦ νεόμαγα διὰ τὸ τὸν ᾽Αλέξανδρον νέον τετελευτηκέναι. ἐτελεύτησε δὲ ᾽Αλέξανδρος ἐν τῷ πεντακισχιλιοστῷ ἑκατοστῷ ἑβδομηκοστῷ τρίτῳ ἔτει τοῦ κόσμου· ἤγουν ἀπὸ τῆς τελευτῆς ᾽Αλεξάνδρου ἕως τῆς τοῦ θεοῦ λόγου ἐκ παρθένου σαρκώσεως ἔτη τριακόσια εἴκοσι τέσσαρα.

(2) ἔτη δώδ. ἐν τῇ περιγείῳ C (3 ss.) de C vide infra n. 3-I5 (7) Σκυθίαν C : Σκυφίαν RL (II) Περίας RL : Πέρσας recte A (I2) Βουκέφαλον ἵππον dedi : Κεφαλῶν ἵππων R (I3) Πῶρον C et (supra) D : Πόρρον R (3-I5) δώδεκα..... καλουμένην R : δώδεκα ταύτας·

'Αλεξάνδρειαν κατ' Αἴγυπτον κειμένην α',
'Αλεξάνδρειαν τὴν ἐν Ὤρπῃ οὖσαν β',
'Αλεξάνδρειαν τὴν εἰς Κράτιστον γ',
'Αλεξάνδρειαν τὴν ἐν Σκυθίᾳ τῇ γῇ δ',
'Αλεξάνδρειαν τὴν ἐπὶ Κρηπῖδος ποταμοῦ ε',
'Αλεξάνδρειαν τὴν ἐπὶ Τρωάδος ς',
'Αλεξάνδρειαν τὴν ἐν Βαβυλῶνι ζ',
'Αλεξάνδρειαν τὴν εἰς Περσίαν η',
'Αλεξάνδρειαν τὴν ἐπὶ Κεφάλων ἵππων θ',
'Αλεξάνδρειαν τὴν ἐπὶ τοῦ Πώρου ι',
'Αλεξάνδρειαν τὴν ἐπὶ τὸν Τίγριν ια',
'Αλεξάνδρειαν τὴν ἐπὶ Μεσέγγιστα ιβ'. C

(I6) ἐν μηνὶ 'Ιανν. C (I7) ἀνατολῆς οὔσης RBA : ἀνατολικοῦ ὄντος C / ἐτελεύτησε..... ἡλίου C : om. RL : sim. BA (I8) καὶ ἐκάλεσαν RBL : ἐκάλεσε δέ C (I9) νεόμαγα RL : νεομαχίαν C : νεομέγα B / τό C : om. RBL (2I) τρίτῳ = γ' legi apud R, etiam τ' vel στ' vel σγ' legere neque intellegere possis : ς'= ἕκτῳ apud BL (20-2I) ἐτελεύτησε..... κόσμου R, sim. BL : ἀπ' ἀρχῆς δὲ αὐτῆς τῆς κοσμοποιίας ἕως τῆς τελευτῆς αὐτοῦ ὑπῆρχον ἔτη πεντάκις χίλια διακόσια δέκα ἑπτά C miro computo / ἤγουν ἀπό R : ἀπὸ δέ C (22) 'Αλ. R : αὐτοῦ C (23) τριακ. εἴκ. τεσσ. RB : διακόσια ἐνενήκοντα ἐννέα, ὁμοῦ ἔτη ἕως τοῦ Χριστοῦ ἀπ' ἀρχῆς -:εφη':-C,qui hic narrationem finit versibus iambicis, quos ad finem huius recensionis (γ) ponimus p. 460,I9

ὑπέταξε δὲ πλήθη ἐθνῶν πολλῶν· πρῶτον μὲν Ἕλληνας, Ἴβηρας, Ἀβάρους, Σκλάβους, Μαύρους, Μαυρεντιανούς, Ὀνογούρους, Τετραγούρους, Τετρακάτους, Μονοκεράτους, Σικίονας, Κανζιότας, Κανζήτας, Ῥυσπηρήτας, Χαρουρίτας, Ὀφιομάγους, Ὀφιόποδας, Ἐλεφαντινόποδας, Σκηβρυότας, Ἐξαμάρους, Λογγιβάρδους, Λεβεσεντιανούς, Ἐβρίδας, Δερματησίους, Ἀβάσγους, Ἀρμενίους, Ῥουσίους, Ὄχλους, Σαρακηνούς, Σύρους, Ἀλανούς, Ἐβρεπάους, Ἐβρεξάους, Ἑξαχείρους, Ἑξαστίχους, Λωροπόδους, Ὑποφαλαγγίους, Πρίσκους, Λακούς, Πολύποδας, Πατησόφους, Λέβεις, Λυκοκράνους, Κυοκεφάλους (sic), Λοκομίτας, Ὀστρικούς, Πανζήτας, Δελεήμας, Σανδαλεῖς, Κανσάδεις, Κασανδριώτας, Αἰγιώτας, Ὑποβιώτας, Ὑποβοτίους, Ἰνδούς, Σινδιανούς, Σουγδάους, Βαρμαίους, Αἰγυπτίους <σὺν> τοῖς κατοικοῦσιν τοῖς σκοτεινοῖς τόποις, Ἑβραίους, Θρυμβήτας, Κούσκους, Χαζάρους, Βουλγάρους, Χουνάβους, Πίνσας, Αἰθίοπας καὶ Ῥωμαίους τοὺς νικήτορας στρατιώτας. τοὺς δὲ λοιποὺς χωρὶς πολέμου ὑπετάξαμεν· καὶ φόρους ἐτέλεσαν. Ἀμήν.

– e codice C –

Στίχοι ἰαμβικοὶ εἰς Ἀλέξανδρον·

Οὐδὲν τὰ φαιδρὰ τοῦδε τοῦ κόσμου, φίλε.
Πρὶν γὰρ φανοῦσιν, ἀφανίζονται τάχει
Ὡς ἄνθος, ὡς ἄγρωστις, ὡς σκιᾶς ὄναρ.
Τὰ χείρονα στέργουσι κρειττόνων πλέον.
Θᾶττον πρὸ ὥρας τὰ καλὰ παρατρέχει.
Οὐδὲν τὸ καινὸν τῆς τροπῆς ταύτης, ξένε·
Ἀνθεῖ μόλις, φθῇσι δέ, φθάνει ταχέως

(I) ὑπέταξε... R, sim. L : om. CBA (2) ᾽Αβάρους RL : caveas ne scribas ᾽Αράβους (3) Μονοκεράπους L (4) Κανζιῶτας, Κανζίτας, ῾Ρυσπουρίτας, L (5) Σκηβρ. R : Σκυμβριότας L (6) Λευεσεντ., Οὐριδάς L (7) Δερματισίους L / ῞Οχλους L (9) ῾Εξωστίχους L / Λωροπόδους R : Λωρόποδας L melius (IO) Πατισόφους, Λέσαεις L (II) Κυοκ. R, fortasse Κυνοκεφάλους (IO–II) Λυκοκρ. ..... Λυκομ. R : om. L (I2) Κανσ. R : Κασάνδρεις L / Κασανδρ. R : Κασυνδριώτας L / Αἰγιώτας R : Αἰγιότας, Αἰγιτίδους L (I3) Σουγδανούς L (I4) Βαρμ. R : Βαρθολομαίους L / σύν addidi : om. RL (I5) Θρυμνίτας L (I6) Πίνσας R : Πέρσας L (I8) hic R finit narrationem (I9) huic fini versus adiungimus ex C, cf. p. 459,n.23 (22) σκιᾶς Mueller : σκια C (26) φθῆσι δέ intellegas φθίσει δέ

- e codice C -

Ἄκανθα· δυσώδης γὰρ ἣ κεντοφόρος
Ἐβλάστησε, τέθηλεν αὐτῆς τὸ κλέος.
Ἓν ἦμαρ ἠφάνισε ταῦτα πολλάκις
Κενούς τε κατέλειψαν αὐτῶν δεσπότας.
Ἐντυγχάνει μόνιμον, ἄφθιτον κλέος
Ἡ ἀρετή, ἧς καὶ χρόνος πανδαμάτωρ
Γνώμην ἀγαθὴν δαμάσαι οὐκ ἰσχύει.
Θέλεις τοιγαροῦν παρ' ἐμοῦ μαθεῖν, ξένε,
Πρὸς τί ταῦτα ἔλεξα πρός σε; νῦν μάθε·
Βασιλεὺς Ἀλέξανδρος ὁ κοσμοκράτωρ,
Ὀλυμπίας ὁ βλαστός, εὐανθὲς ῥόδον,
Ἐκ βασιλικῶν αἱμάτων βεβαμμένον,
Ἥρως βριαρός, γεννάδας, θυμολέων,
Οὗ τὴν σπάθην ἔφριξαν ἰταμῶν φῦλα,
Οὗ τὸ δόρ' ἐτρόμαξε Περσῶν ἡ φάλαγξ,
Ὃς βαρβάροις ἅπασι πρηστὴρ ἐπῆλθεν,
Τετραμερῆ κλίματα, τὴν γῆν, οἰκοῦσιν·
Οὗτος φαεινὸς ὀφθεὶς τοῖς Μακεδόσι,
Βαβαί. πρὸ ὥρας ἐξέλιπεν, ἐκρύβη,
Ὡς ὑπὸ τὸν μόδιον ἔκλαμπρος λύχνος.

Τ Ε Λ Ο Σ

(2I) post ΤΕΛΟΣ subscriptio in C haec : ἀνεκαινίσθη τὸ παρὸν βιβλίον „Ἀλέξανδρος" ἐν ἔτει ζ^{ω}οε' (quem numerum sicut Mueller, superscripta illa littera ω neglecta, intellegas: an. 7075 aer. Constantinopolitanae,i.i.e. I567 p. C.) ἰνδικτιῶνος τῆς διὰ χειρὸς ἐμοῦ τοῦ ταπεινοῦ Εὐσταθίου ἱεροδιακόνου.

Θεοῦ τὸ δῶρον καὶ διακόνου πόνος
Γαβριήλ, τοῦ γράψαντος ἐν πολλῷ πόθῳ.
Καὶ οἱ ἀναγινώσκοντες εὔχεσθέ μοι.
Ἀ μ ή ν .

Beiträge zur klassischen Philologie
Herausgegeben von Reinhold Merkelbach

Heft

1 Clemens Zintzen
Analytisches Hypomnema zu Sencas Phaedra

2 Anton Wiechers
Äsop in Delphi

3 Ernst Köberlein
Caligula und die ägypischen Kulte

4 Ursula von Lauenstein
Der griechische Alexanderroman – Rezension Γ, Buch I

5 Reinhold Merkelbach
Isisfeste und ihre Daten in griechisch-römischer Zeit

6 Dieter Kolk
Der pythische Apollonhymnus als altiologische Dichtung

7 Ingrid Löffler
Die Melampodie

8 Udo Hetzer
Andromeda und Tarpeia

9 Joachim Gruber
Über einige abstrakte Begriffe des frühen Griechischen

10 Gerhard Binder
Die Aussetzung des Königskindes

11 Remy Petry
Über den Roman des Chariton

12 Helmut Engelmann
Der griechische Alexanderroman – Rezension Γ, Buch II

13 Siegfried Reichmann
Das byzantinische Alexandergedicht

14 Armin Schäfer
Menanders Dyskolos

15 Helmut Engelmann
Die Delische Sarapisaretalogie

VERLAG ANTON HAIN KG · 6554 MEISENHEIM Postfach 180

Beiträge zur klassischen Philologie
Herausgegeben von Reinhold Merkelbach

Heft

16 Volker Schmidt-Kohl
Die neuplatonische Seelenlehre in der Consolatio Philosophiae des Boethius

17 Rudolf Hutmacher
Das Ehrendekret für den Strategen Kallimachos

18 Josef Stallmach
Ate – Zur Frage des Selbst- und Weltverständnisses des frühgriechischen Menschen

19 Johannes Dornseiff
Isaak Sebastokrator – Zehn Aporien über die Vorsehung

20 Otto Zwierlein
Die Rezitationsdramen Senecas – Mit einem kritisch-exegetischen Anhang

21 Willi Frentz
Mythologisches in Vergils Georgica

23 Heinz-Josef Thissen
Studien zum Raphiadekret

25 Hartmut Sell
Das Etymologicum Symeonis

26 Friedrich W. Cremer
Die chaldäischen Orakel und Jamblich de Mysteriis

27 Peter Frisch
Die Träume bei Herodot

28 Hans-Veit Friedrich
Thessalos von Tralles

29 Johann Georg Petzl
Antike Diskussion über die beiden Nekyiat

30 A. Scobie
Über den antiken Roman

31 Christina Gülke
Mythos und Zeitgeschichte bei Aischylos – Das Verhältnis von Mythos und Historie in Eumeniden und Hiketiden

32 Fritz Fajen
Überlieferungsgeschichtliche Untersuchungen zu den Halieutika des Oppian

VERLAG ANTON HAIN KG · 6554 MEISENHEIM Postfach 180